Ο ΣΥΝΕΣΙΟΣ ΠΛΩΤΙΝΙΖΩΝ

ΗΤΟΙ

Η ΠΕΡΙ ΘΕΟΥ ΦΙΛΟΣΟΦΙΚΗ ΔΙΔΑΣΚΑΛΙΑ

ΤΟΥ ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΤΟΛΕΜΑΪΔΟΣ
ΕΝ ΤΗ ΚΥΡΗΝΑΪΚΗ

ΥΠΟ

ΦΙΛΑΡΕΤΟΥ Ι. ΒΑΦΕΙΔΟΥ.

(Ἀδείᾳ τοῦ Ὑπουργείου τῆς Δημοσίας Ἐκπαιδεύσεως).

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,
Τύποις ΟΔ. ΙΑΛΕΜΟΥ ΚΑΙ Σ/ΑΣ.

1875.

Ο ΣΥΝΕΣΙΟΣ ΠΛΩΤΙΝΙΖΩΝ

ΗΤΟΙ

Η ΠΕΡΙ ΘΕΟΥ ΦΙΛΟΣΟΦΙΚΗ ΔΙΔΑΣΚΑΛΙΑ

ΤΟΥ ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΤΟΛΕΜΑΪΔΟΣ

ΕΝ ΤΗ ΚΥΡΗΝΑΪΚΗι

ΥΠΟ

ΦΙΛΑΡΕΤΟΥ Ι. ΒΑΦΕΙΔΟΥ.

(Ἀδείᾳ τοῦ Ὑπουργείου τῆς Δημοσίας Ἐκπαιδεύσεως).

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

Τύποις ΟΔ. ΙΑΛΕΜΟΥ ΚΑΙ Σ/ΑΣ.

1875.

DE SYNESIO PLOTINIZANTE

DISSERTATIO INAUGURALIS QUAM

AD SUMMOS IN PHLOSOPHIA HONORES

AB

AMPLISSIMO PHILOSOPHORUM ORDINE

LIPSIENSIRITE IMPETRANDOS

SCRIPSIT

PHILARETUS I. BAPHIDES

CONSTANTINOPOLITANUS.

CONSTANTINOPOLI. MDCCCLXXV

ΤΗι ΕΝ ΛΕΙΨΙΑι ΤΩΝ ΕΛΛΗΝΩΝ

ΦΙΛΟΜΟΥΣΩι ΚΟΙΝΟΤΗΤΙ

ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΤΕΚΜΑΡ

ΑΝΕΘΗΚΕΝ

Ο ΣΥΓΓΡΑΨΑΣ

ΑΥΤΟΒΙΟΓΡΑΦΙΑ.

Γεννηθεὶς ἐν Κωνσταντινουπόλει κατὰ Μάρτιον τοῦ 1850 ἀπὸ Χριστοῦ ἔτους ἐκ γονέων τὴν Ὀρθόδοξον Ἑλληνικὴν ὁμολογίαν ὁμολογούντων, πατρὸς μὲν Ἰωάννου Βαφείδου, μητρὸς δὲ Θωμαΐδος Καλοϊωάννου, ἑκκαιδεκαέτης κατετάχθην εἰς τοὺς φοιτητὰς τῆς ἐν Χάλκῃ παρὰ τὴν Κωνσταντινούπολιν Θεολογικῆς Σχολῆς τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἔνθα ἀκροασάμενος τῶν τῆς Θεολογίας Καθηγητῶν Βασιλείου Μητροπολίτου Ἀγχιάλου, Νικηφόρου Γλυκᾶ, Μητροπολίτου Ἴμβρου, Φιλοθέου Βρυεννίου, Γερμανοῦ Γρηγορᾶ καὶ Ἰωάννου Ἀναστασιάδου, ὡς δὴ καὶ τῶν τῆς φιλολογίας καὶ φιλοσοφίας Ἠλία Τανταλίδου, Χρήστου Παππαδοπούλου καὶ Βασιλείου Γρηγοριάδου, κατελέγην μετὰ τὰς ἀπολυτηρίους ἐξετάσεις εἰς τοὺς διδασκάλους τῆς Ὀρθοδόξου Ἑλληνικῆς Θεολογίας. Ἅμα τούτῳ μεταβὰς εἰς τὴν σοφὴν τῶν γραμμάτων πρωτεύουσαν Λειψίαν, διῆλθον ἐνταῦθα τὸν δόλιχον τῶν θεολογικῶν καὶ φιλοσοφικῶν σπουδῶν, ἐκ μὲν τῶν τῆς Θεολογίας Καθηγητῶν ἀκουστὴς γενόμενος τῶν περιωνύμων **Kahnis, Luthard, Hoffmann,** ἐκ δὲ τῆς φιλοσοφίας τῶν σοφῶν **Drobisch, Stümpell, Seydell,** καὶ ἐκ τῆς φιλολογίας καὶ ἱστορίας τῶν διασήμων **Curtius** καὶ **Voigt**, οἷς πᾶσι χάριτας ὁμολογῶν διατελῶ.

§ 1.

Ὅτε ὁ μὲν Χριστιανισμὸς ὑπὸ ποικίλων καὶ φοβερῶν πολεμούμενος ἐχθρῶν νικηφόρος τοῦ πεδίου τῆς μάχης ἐξῄει, ὁ δ' ἐθνισμὸς μάλα ἤδη γεγηρακὼς μαρασμῷ κατετήκετο, καὶ οἱονεὶ τὰ λοίσθια ἔπνεε, ἐν Ἀλεξανδρείᾳ, τῇ ἑστίᾳ ἐκείνῃ τῆς Ἑλληνικῆς παιδείας καὶ φιλοσοφίας, ἔνθα ἤδη ἀπὸ Ἀλεξάνδρου τοῦ μεγάλου πάντα τὰ εἰς τὴν πνευματικὴν τοῦ ἀνθρώπου ἀνάπτυξιν συλλαμβανόμενα συνέρρει, ἐφύετο ὁ τελευταῖος τοῦ μεγάλου τῆς Ἑλληνικῆς φιλοσοφίας δένδρου βλαστὸς, ὁ ἰδίᾳ Νεοπλατωνισμὸς ἐπικαλούμενος. Ἡ φιλοσοφία αὕτη, ἥτις ταῖς ἀνάγκαις τῆς ἐποχῆς εἴκουσα ὅλως θρησκευτικὸν περιβάλλεται χαρακτῆρα, τὸν ἄνθρωπον ἐπὶ τὸ ὕψιστον ὂν, ἐξ οὗ τὰ πάντα προβάλλεται, ὁδηγοῦσα, τὴν μὲν ἀρχὴν καὶ τὴν ῥίζαν ἑλληνική ἐστι· (α) ἐπὶ γὰρ τοῦ

(α) Περὶ τῆς νεοπλατωνικῆς φιλοσοφίας διάφοροι τανῦν ἄρχουσι δοξασίαι· οἱ μὲν γὰρ καθαρῶς Ἑλληνικὴν αὐτὴν ἀποδεῖξαι βούλονται, οἱ δέ γε μόνον ἀνατολικήν. Καὶ ὅτι μὲν αὕτη τὴν λῆξιν καὶ ἀνακεφαλαίωσιν τῆς Ἑλληνικῆς ἀποτελεῖ, τοῦτο δέδεικται τῷ περιφανεῖ **Zeller, Die Philosophie der Griechen in ihrer geschichtlichen Entwickelung, Theil 3, Abtheil. 2,** σελ. 373, **II auflag. Leipzig 1868,** καὶ τῷ **H. Kirchner, Die Philosophie des Plotin, Halle 1854,** σελ. 9—ὅτι δὲ ἁπλῶς Ἑλληνικὴ τυγχάνει, τοῦτο ἀποδεχθῆναι ἀδυνατοῦμεν, πολλῶν τῶν ἐναντίων ὄντων· παράβαλε **Schwegler,** Ἱστορία τῆς Ἑλληνικῆς φιλοσοφίας, μετάφρασις Χαντζερῆ. Ἐν Ἀθήναις 1867. **Ritter, Geschichte der Philosophie Band IV,** σελ. **414, Hamburg 1836—38. Uberweg, Grudriss der Geschichte der Philosophie des Alterthums,** σελ.**239, 4 Auf. Berlin 1871.**

Πλάτωνος καὶ τοῦ Ἀριστοτέλους ἑδραζομένη πάνθ' ὅσα τοῖς πρώην φιλοσοφήσασι καλῶς ἐρρέθη, ἐκ νέου αὖθις εἰς ἓν συνῆψε καὶ τὰς ἀντιθέτους αὐτῶν γνώμας ἀλλήλαις ὡς οἷόν τε ἦν διήλλαξε. Οὐκ ἄτοπον μέντοι δοκεῖ μοι ἐπ' αὐτὴν καὶ ἐπίδρασίν τινα οὐ σμικρὰν τῆς τε τότε μέγα δυναμένης ἀνατολικῆς φιλοσοφίας καὶ τῆς τοῦ Φίλωνος τοῦ Ἰουδαίου Θεοσοφίας ἀνομολογῆσαι(α)· ὡς γὰρ τότε πάντα τὰ φιλοσοφήματα ἐς ἄλληλα καὶ τὴν ἀνατολικὴν φιλοσοφίαν συνεκράθη, οὕτω δὴ καὶ ὁ Νεοπλατωνισμὸς ἐν τῇ κοιτίδι ταύτῃ τῆς φιλοσοφικῆς συγκράσεως γεννηθεὶς ἀνέπνευσεν ὡς εἰκὸς καὶ ἐκ τῆς φιλοσοφικῆς τῶν χρόνων ἐκείνων ἀτμοσφαίρας καὶ συνῳκείωσεν ἑαυτὸν ταῖς τότε θεωρίαις, ὅπερ ῥᾴδιον εἰκάσαι ἔκ τε τῆς ἀμέσου περὶ Θεοῦ θεωρίας, τῆς περὶ ἐκστάσεως δόξης καὶ τῆς ἤδη ἐκνικησάσης μυστικῆς μεθόδου.

§ 2.

Ἀλλὰ καθ' ὃν ἔφθημεν εἰπόντες χρόνον ὁ Νεοπλατωνισμὸς ἀνεπτύχθη καὶ διεδίδετο, ἀπέναντι αὐτοῦ ὁ Χριστιανισμὸς ἵστατο τὰ μάλα διαδεδομένος καὶ δὴ καὶ συστηματικῶς διαμεμορφωμένος. Ἐν Ἀλεξανδρείᾳ πρὸς τῇ Γνώσει καὶ τῇ Θεοσοφίᾳ τοῦ Φίλωνος ἤκμαζε τὸν χρόνον τοῦτον καὶ ἡ Κατηχητικὴ λεγομένη σχολή, τὸ μὲν πρῶτον ὑπὸ

(α) Τὰ μάλα ὑπερβολικὴ καὶ μονομερὴς δοκεῖ μοι ἡ περὶ τοῦ Νεοπλατωνισμοῦ γνώμη τοῦ Γάλλου **E. Vacherot, histoire critique de l' école d Alexandrie 3 Vol. Paris 1846—51**, ἥτινι καὶ ἕτεροι τῶν τῆς αὐτῆς χώρας φιλοσόφων κατακολουθοῦσι. Ὅλως γὰρ ὑπὸ τῆς δοξασίας ἐμφορούμενος ὡς ἡ νεοπλατωνικὴ φιλοσοφία ὑπὸ τῆς ἀνατολικῆς ἐπεδράσθη, ἀρνεῖται ἐν αὐτῇ πᾶν Ἑλληνικόν, μονονοὺκ κλάδον αὐτὴν τῆς καθόλου ἀνατολικῆς ἀνομολογῶν· ἰδοὺ ἐπὶ παραδείγματι τί φησι ἐν Τόμ. II σελ 94,: **Le soufle de l' Orient a passé sur ses doctrines. Quant à ses méthodes, à ses théories, à son langage, tout sela lui vient de la Grèce**· καὶ III σελ. 250. **Elle (la philos· neoplatonicienne) est essentiellement et radicalement orientale. Elle n' a de la philosophie grecque que le langage et les procedés ; par le fond de sa pensée, elle tient à l' Orient.** παραβ. καὶ **Cousin, Histoire générale de la Philosophie depuis les temps les plus anciens jusqu' au XIX siècle. Paris 1792** σελ. 190.

Πανταίνῳ, εἶτα δὲ ὑπὸ Κλήμεντι τῷ Ἀλεξανδρεῖ. Καὶ εἰ μὲν πρὸς τὴν σχολὴν ταύτην φιλικῶς ὁ νεοπλατωνισμὸς διέκειτο, τοῦτο ἄγνωστον, βέβαιον μέντοι τυγχάνει τὸν Πλωτῖνον οὐδέποτε κατὰ τοῦ Χριστιανισμοῦ αὐτοῦ παροξυνθῆναι, ἀλλὰ μόνον κατὰ τῆς Γνώσεως(α). Οὐχ οὕτως ὅμως ἔχει τὸ πρᾶγμα ἐν τῇ πρὸς τὸν νεοπλατωνισμὸν τοῦ χριστιανισμοῦ σχέσει· πολλοὶ γὰρ οὐ σμικράν φασι ῥοπὴν τὴν νεοπλατωνικὴν διδασκαλίαν πρὸς αὐτὸν σχεῖν, ἀφορμὴν λαμβάνοντες ἐκ συγγενῶν ἀμφοτέροις γνωμῶν, ὡς τῆς περὶ Τριάδος, περὶ ἀγγέλων, δαιμόνων κτλ. (β)· ἀλλ' οὐχ οὕτως ἡμῖν δοκεῖ· ἡ γὰρ χριστιανικὴ διδασκαλία ἐν τῷ καιρῷ ἐκείνῳ, καίπερ ἐπὶ ἐπιστημονικῶν τεθεμελιωμένη βάσεων, ἐφαίνετο μέντοι ἀπέναντι τῆς πληθύος τῶν μεγάλων τῆς ἀρχαιότητος ἀναπτύξεων γλίσχρον τι καὶ ἀφανὲς προϊόν, ἐν γωνίᾳ τινὶ καὶ παραβύστῳ ἀναπτυχθὲν καὶ μηδαμῶς τῆς περαιτέρω τῶν ἐθνικῶν παρατηρήσεως ἀξιούμενον (παρ. K. **Vogt Neoplatonismus und Christenthum, Berlin** 1836, σελ. 43) περιφρονούμενον δὲ ὥς τις

(α) Πολλοὶ τῶν νῦν φιλοσόφων τε καὶ θεολόγων, τὸν νεοπλατωνισμὸν ἡγοῦνται προελθεῖν οὐ μόνον ὅπως ἐπὶ τὸ φιλοσοφικώτερον καὶ θρησκευτικώτερον τὰς τῶν ἐθνικῶν περὶ Θεοῦ καὶ κόσμου θεωρίας καθόλου μεθαρμόσῃ, ἀλλ' ὅπως καὶ ἐφάμιλλον αὐτὸν τῇ κατισχυούσῃ Χριστιανικῇ διδασκαλίᾳ ἀναδείξῃ· ἴδε **Schwegler** ἐνθ. ἀνωτ. σελ. 679. **Tschirner, der Fall des Heidenthums, Leipzig** 1829 σελ. 407. Μὴ ἀρνούμενοι τὴν δόξαν ταύτην ἀδυνατοῦμεν ἀποδεχθῆναι τὴν γνώμην τοῦ σοφοῦ Νεάνδρου, ὁρῶντος ἐν τῷ κατὰ τῆς Γνώσεως βιβλίῳ τοῦ Πλωτίνου πόλεμον κατ' αὐτοῦ τοῦ Χριστιανισμοῦ. **Neander, christliche Dogmengeschichte** σελ. 60. **Berlin** 1857. Πρῶτον ὁ Πορφύριος ἐπεξῆλθε εἰς τὸν κατ' αὐτοῦ ἀγῶνα κορυφωθέντα ἰδίᾳ ἐπὶ Ἰουλιανοῦ παραβάτου. Παρ. καὶ **Tschirner** ἐνθ. ἀνωτ. σελ. 574.

(β) Τῆς γνώμης ταύτης ἀντέχεται καὶ ὁ **Tschirner** ἐν τῷ ῥηθέντι συγγράμματι λέγων: **Die Christen nahmen deutlich wahr dass dic Neoplanoniker selbst den Einfluss des christlichen Geistes empfunden und christliche Jdeen in ihr Lehrgebaüde aufgenomen hatten (!)** σελ. 574. Ὁ δὲ **Vacherot** καίτοι ἐν τοῖς δύο τούτοις συστήμασι **graves différences** εὑρίσκει, ἀποφαίνεται ὅμως παρακατιὼν ὡς ἑξῆς: **Malgré ces différences le christianisme et la philosophie Alexandrine sont au fond deux doctrines issues d' un même principe, et pénétrés d' un même esprit; même metaphysique, l' indealisme...** Ἐνθ. ἀνωτ. Τόμ. II σελ. 92.

τῶν ἰουδαϊκῶν αἱρέσεων ἐρεσχελία. Περὶ δὲ τῆς μεταξὺ αὐτῶν συγγενείας, δοκοῦσα αὕτη ἐστὶ, ἐξαφανιζομένη ἐκ τῆς ἐν αὐτοῖς μεγάλης καὶ περὶ τὰς ἀρχὰς διαφορᾶς. Ὄντως γὰρ ἥ τε χριστιανικὴ καὶ ἡ νεοπλατωνικὴ διδασκαλία πεπεισμέναι τυγχάνουσιν οὖσαι περὶ τῶν ἐλλείψεων τῆς ἐπιγείου ὑπάρξεως, περὶ τῆς πνευματικῆς καὶ ἠθικῆς τοῦ ἀνθρώπου ἀναπτύξεως, περὶ τῆς ἀπείρου ἀποστάσεως τοῦ κόσμου ἀπὸ τοῦ Θεοῦ, τῆς φύσεως ἀπὸ τοῦ πνεύματος· ἀμφότεραι δ' ἀληθῶς τείνουσι πρὸς θείαν τινὰ βοήθειαν, πρὸς θείαν τινὰ ἀποκάλυψιν. Ἀλλὰ τοῦ χριστιανισμοῦ ἐπιγινώσκοντος τὴν ἀποκάλυψιν ταύτην ἐν ἱστορικοῖς γεγονόσι καὶ προσώποις, ὁ νεοπλατωνισμὸς προσδέδεται ἐν τῇ φύσει καὶ τοῖς φυσικοῖς τοῦ κόσμου νόμοις περιπίπτων ἅμα εἰς μυστικὰς θεωρίας· ὁ μὲν ἰᾶται καὶ ἐπαρκεῖ ταῖς τῶν ἀνθρώπων ἀνάγκαις, ὁ δὲ θεωρίαις μόνον πλουτίσαι βούλεται τὴν ἠθικῶς πάσχουσαν ἀνθρωπότητα, μεταρρυθμίσαι τὰ κακῶς ἔχοντα καὶ ἐπαναγαγεῖν τὴν ἀρχαίαν λαμπρότητα. Ἀλλὰ καὶ ἐπὶ τῆς διδασκαλίας ἀμφοτέρων ἔστιν ἰδεῖν τὴν μεγάλην αὐτῶν διαφοράν. Ἐν τῇ περὶ Τριάδος φέρ' εἰπεῖν ἐκτὸς τῆς περὶ τὸν ἀριθμὸν ταὐτότητος οὐδὲν ἕτερον κοινόν ἐστιν· ἡ μὲν γὰρ χριστιανικὴ διδασκαλία ἑνοῦσα τὰ τρία πρόσωπα τῆς Θεότητος ἕ ν α ἀποτελεῖ Θ ε ὸ ν ἐ ν τ ρ ι σ ὶ ν ἴ σ α ι ς ὑ π ο σ τ ά σ ε σ ι ν· ὁ δὲ νεοπλατωνισμὸς ἀποδεχόμενος τό τε ἓ ν καὶ τὸν ν ο ῦ ν καὶ τὴν ψ υ χ ὴ ν ὑποτάσσει τὴν τελευταίαν τῷ δευτέρῳ καὶ τοῦτον τῷ ἑνὶ, χωρίζων οὕτω ἀπ' ἀλλήλων τὰς τρεῖς ταύτας ἀρχάς. Ταὐτὸ ἠδύνατό τις εἰπεῖν περί τε τῶν μεταξὺ τοῦ Θεοῦ καὶ τοῦ κόσμου μεσαζόντων δαιμόνων, περί τε τοῦ κακοῦ καὶ τῆς τοῦ θείου θεωρίας. Παρ. **Vacherot** ἔνθ. ἀν. **Tom**. II σελ. 91—92 III, σελ. 9. **Neander Dogmengeschichte**, σελ. 60.

§ 3.

Καίτοι μὲν οὖν οὔτε τοῦ Χριστιανισμοῦ ἐπὶ τὸν Νεοπλατωνισμὸν, ἀλλ' οὐδὲ τοῦ δευτέρου ἐπὶ τὸν πρῶτον ῥοπήν τινα ἀποδεχόμεθα, λίαν μέντοι ἐπαισθητὴν ἡγούμεθα αὐτὴν ἐπὶ τὴν χριστιανικὴν ἐπιστήμην (α). Πολλοὶ τῶν πατέρων καὶ συγ-

(α) Ὅπως μὴ παρανοηθῶμεν παρατηροῦμεν ἐνταῦθα ὡς οὐδαμῶς ποοτιθέμεθα ἐντεῦθεν τὴν ἐπί τινας πατέρας καὶ συγγραφεῖς τῆς

γραφέων τῆς Ἐκκλησιαστικῆς φιλολογίας τῇ Ἑλληνικῇ φιλοσοφίᾳ ἐντεθραμμένοι καὶ ἐντεῦθεν πολλὰς τὰς ἀποδείξεις ὑπὲρ τοῦ Χριστιανισμοῦ ἀρυόμενοι, ὑπέκυπτον ὡς εἰκὸς εἰς τὴν ταύτης ἐπίδρασιν, πολλὰς ἐξ αὐτῆς θεωρίας καὶ γνώμας ἀποκομιζόμενοι. Μάρτυς τούτου ἔστω ἡμῖν ὁ ἀδαμάντινος Ὠριγένης, οὐ μόνον τὴν τοῦ παντὸς ἀρχὴν κατὰ τὴν τοῦ Πλωτίνου διδασκαλίαν ἐξηγούμενος, ἀλλὰ καὶ ἑτέρας αὐτοῦ δοξασίας προσαποδεχόμενος, ὡς ἐπὶ παραδείγματι τὴν προύπαρξιν τῶν ψυχῶν καὶ ἑτέρας. Ἀλλὰ καὶ οἱ μεγάλοι τῆς Καππαδοκίας φωστῆρες, Βασίλειος ὁ Μέγας καὶ ὁ ἀδελφὸς αὐτοῦ Γρηγόριος ὁ Νύσσης, μαρτυρήτωσαν τῷ λόγῳ καὶ δή γε ὁ τελευταῖος, ὃν εἰκότως τις ἂν τὸν φιλοσοφώτερον τῆς Ἑλληνικῆς Ἐκκλησίας πατέρα καλέσειε, ὡς τὸν μᾶλλον τῶν ἄλλων τὸ γάλα τῆς νεοπλατωνικῆς φιλοσοφίας θηλάσαντα· οὐ μόνον γὰρ τὴν περὶ Τριάδος διδασκαλίαν ψυχολογητικῇ τῇ μεθόδῳ ἑρμηνεῦσαι ἐπεχείρησεν, ἀλλὰ καὶ ἐν τῇ περὶ ψυχῆς ὅλως τῷ Πλωτίνῳ προσέκειτο (α). Ἐπαισθητότερα ἔτι τὰ τοῦ νεοπλατωνισμοῦ ἴχνη εὑρίσκομεν ἐν τῷ περὶ φύσεως τοῦ ἀνθρώπου βιβλίῳ τοῦ ἐπισκόπου Ἐμέσσης Νεμεσίου. Ὁ φιλόσοφος ἐπίσκοπος πάσας ἀμωσγέπως τὰς περὶ τῆς οὐσίας τῆς ψυχῆς, ὡς καὶ τὰς μετὰ τοῦ σώματος ἑνώσεως αὐτῆς ἀποδείξεις ἀναπαρίστησι κατὰ τὴν τοῦ Ἀμμωνίου σχολήν. Κατ' αὐτὸν ἡ ψυχὴ οὐ δεῖ λέγεσθαι εἶναι ὡς ἐν τόπῳ τῷ σώματι, ἀλλ' ὡς ἐν σχέσει, καὶ ποτὲ μὲν ἐν ἑαυτῇ ἐστιν ὅταν λογίζηται, ποτὲ δὲ ἐν τῷ νῷ ὅταν νοῇ.(β) Ὁμοίως καὶ ὁ ἐκ Γάζης Αἰνείας, ὁ τοῦ ἀλεξανδρινοῦ

Ἐκκλησίας ἐπίδρασιν τοῦ Νεοπλατωνισμοῦ, ἐπὶ πάντας τε καὶ τὴν χριστιανικὴν διδασκαλίαν κατ' οὐσίαν ἀποδοῦναι.

(α) Παράβαλε τὸν περίφημον τοῦ Γρηγορίου διάλογον *περὶ ψυχῆς καὶ ἀναστάσεως*, ἔκδοσις **Krabinger, Lipsiae 1837.**

(β) Ἰδοὺ ὃ λέγει ἐν σελίδι 134—135. Ἡ δὲ ψυχὴ ἀσώματος οὖσα καὶ μὴ περιγραφομένη τόπῳ *ὅλη δι' ὅλου χωρεῖ* καὶ τοῦ φωτὸς ἑαυτῆς καὶ τοῦ σώματος καὶ οὐκ ἔστι μέρος φωτιζόμενον ὑπ' αὐτῆς, ἐν ᾧ μὴ ὅλη πάρεστιν· οὐ γὰρ κρατεῖται ὑπὸ τοῦ σώματος, ἀλλ' αὐτὴ κρατεῖ τὸ σῶμα, οὐδ' ἐν τῷ σώματί ἐστιν ὡς ἐν ἀγγείῳ ἢ ἀσκῷ, ἀλλὰ μᾶλλον τὸ σῶμα ἐν αὐτῇ· μὴ κωλυόμενα γὰρ ὑπὸ τῶν σωμάτων τὰ νοητά, ἀλλὰ διὰ παντὸς σώματος χωροῦντα καὶ διαφοιτῶντα καὶ διεξιόντα, οὐχ οἷά τέ ἐστιν ὑπὸ τόπου σωματικοῦ κατέχεσθαι.

φιλοσόφου Ἱεροκλέους μαθητής, διετήρησε τὰς νεοπλατωνικὰς παραδόσεις καὶ τὴν διδασκαλίαν αὐτὴν τῇ χριστιανικῇ κεραννύναι δοκεῖ (α). Τὴν αὐτὴν καὶ δὴ ἐν μείζονι βαθμῷ ἐπίδρασιν τοῦ Νεοπλατωνισμοῦ ἐνορῶσιν οἱ νῦν σοφοὶ ἐν τοῖς συγγράμμασι Διονυσίου τοῦ Ἀρεοπαγίτου καὶ δήγε μαθητὴν τῆς τοῦ Πρόκλου φιλοσοφίας γεγονέναι ἀποδεχόμενοι τὸν συγγραφέα τῶν ἐν μυρίᾳ τῇ φήμῃ βιβλίων τούτων. Ἀλλ' ἡ νεοπλατωνικὴ φιλοσοφία λαμπρὰ καταφαίνεται καὶ ἐναργὴς ἐν τοῖς ὑπολειφθεῖσι συγγράμμασι Συνεσίου τοῦ ἐκ Κυρήνης, τοῦ φιλοσόφου ἱερέως.

§ 4.

Ἤδη καὶ πρότερον, ἰδίᾳ δὲ ἀπὸ τῆς Κωνσταντίνου τοῦ μεγάλου εἰς τὸν Χριστιανισμὸν μεταβάσεως καὶ τῆς ἀπὸ Θεοδοσίου τοῦ μεγάλου ἀπαγορεύσεως τῆς ἐθνικῆς λατρείας, ὁ ἑλληνορωμαϊκὸς πολυθεϊσμὸς ὡς θρησκεία ἀνατετραμμένος ἐδόκει εἶναι. Ὁ ἐθνισμὸς διετηρεῖτο τανῦν ἐν εἴδει μόνον ἀθρησκείας τινὸς, παρὰ μὲν τῷ ὄχλῳ ὡς ὀλιγωρίας παντὸς ὑψηλοτέρου καὶ δεισιδαιμονίας παιδικῆς ἐκφαινομένης, παρὰ δὲ τοῖς λογίοις ὑπὸ τῆς φιλοσοφίας κατὰ τὸ μᾶλλον ἢ ἧττον ἀντικαθισταμένης. Ἀλλ' ἡ φιλοσοφία τότε ἐκ δύο ὁρμωμένη ἀρχῶν, τῆς ὑλιστικῆς καὶ ἰδανικῆς, διπλῆν εἶχε καὶ τὴν πρὸς τὴν καθεστῶσαν θρησκείαν σχέσιν, τοῦτο μὲν πολεμοῦσα αὐτὴν ὡς δεισιδαιμονίαν καὶ ἁπλῆν δόκησιν, τοῦτο δὲ ἀνομολογοῦσα αὐτῇ καὶ ποιόν τι ὑπάρξεως δίκαιον ἀλληγορίαις καὶ συμβόλοις τὰς μεταφυσικὰς τῶν πολλῶν ἱκανοποιοῦσα ἀνάγκας. Ἐν τοιαύτῃ πρόκειται ἡμῖν θέσει ὁ ἐν μέσῳ τῆς πολυθεϊστικῆς ἀτμοσφαίρας γεννηθεὶς καὶ πνέων Νεοπλατωνισμὸς, ὑπεραμυνόμενος μὲν τῆς οὐσιώδους αὐτῆς βάσεως, τῆς εἰς πολλοὺς θεοὺς πίστεως, ἄγων δὲ τοὺς ἑαυτοῦ θιασώτας ἐκ τοῦ πανθέου τοῦ ἑλληνορωμαϊκοῦ τῶν θεῶν κόσμου εἰς τὴν θεωρητικὴν τοῦ ὑψίστου Θεοῦ γνῶσιν, ἀφ' οὗ πᾶσα ἡ πληθὺς τῶν ἀοράτων καὶ ὁρατῶν θεῶν, τῶν δαιμόνων, ἡρώων καὶ ψυχῶν ἀ-

---

(α) Ἴδε τοῦ χριστιανοῦ τούτου φιλοσόφου τὸν Θεόφραστον, εἴτε περὶ ἀθανασίας ψυχῶν καὶ ἀναστάσεως σωμάτων.

πορρέει. Τούτῳ τῷ τρόπῳ ὁ Νεοπλατωνισμὸς πολλοὺς τῶν λογίων ἐν τοῖς κόλποις αὐτοῦ προσείλκυε, διατηροῦντας μὲν δὴ ἔτι τὴν ὑπάρχουσαν θρησκείαν ὥς τι πάτριον, διαφερομένους δὲ πρὸς αὐτὴν ἐσωτερικῶς· ἐν αὐτῷ γὰρ ἀκριβῶς εὕρισκον τὴν ἣν ἐπόθουν θρησκευτικὴν γνῶσιν, ἣν μάτην ἐν τῷ θρησκευτικῷ τῆς ἐποχῆς ἐκείνης ταράχῳ ἐζήτουν, ἐν αὐτῷ ἀπήλαυον ἐσωτερικῆς τινος τοῦ πνεύματος γαλήνης καὶ ἠρεμίας καὶ καθίςαντο δυνατοὶ βαθυτέρας τινὸς τῶν μέχρι τοῦδε παραστάσεων αὐτῶν ἑρμηνείας. Ἐν τοῖς τοιούτοις νεοπλατωνικοῖς καταταχτέος καὶ ὁ Συνέσιος ὁ Πτολεμαΐδος, ὁ τελευταῖος οὗτος ἥρως τοῦ καταπεσόντος Ἑλληνισμοῦ.

Τό τε γένος καὶ τὴν παίδευσιν αὐτοῦ ὁ Συνέσιος δίκαιος καταλεχθῆναι τοῖς Ἕλλησι σοφοῖς(α) κατάγων τὸ γένος ἐκ τοῦ τῶν Ἡρακλειδῶν(β) καὶ τυχὼν διδασκάλου τῆς διασημο-

(α) Κατὰ τὰς νεωτέρας ἐρεύνας ὁ χρόνος τῆς γεννήσεως αὐτοῦ πίπτει μεταξὺ τοῦ 370 καὶ 375 (παράβ. **Clausen de Synesio philosopho pag. 4 nota. Druon, Etudcs snr la vie et les œuvres de Synésius**, σελ. 6.) Ἀλλ ὅπως περὶ χρόνου τῆς γεννήσεως αὐτοῦ, οὕτω δὴ καὶ περὶ τῶν ἑτέρων τοῦ βίου αὐτοῦ συμβεβηκότων οὐδὲν δυνάμεθα μετὰ χρονολογικῆς εἰπεῖν ἀκριβείας· τοῦτο μόνον ἴσμεν σαφῶς, ὅτι κατὰ τὸ 397 ἀπεστάλη εἰς Βυζάντιον τῷ βασιλεῖ Ἀρκαδίῳ ὅθεν μετὰ τριετῆ διαμονὴν (ἴδ. Ὕμν. 3,431) ἐπανέκαμψεν εἰς Ἀλεξάνδρειαν καὶ τὴν αὐτοῦ πατρίδα Κυρήνην μέχρι τοῦ 404. Κατὰ τὸν **Clausen** (ἐνθ. ἀνωτ. σελ. 35) πρὸ τῆς ἐν Ἀλεξανδρείᾳ διαμονῆς αὐτοῦ μετέβη καὶ εἰς Ἀθήνας. Περὶ τῆς ἐν Ἀθήναις διαμονῆς αὐτοῦ μαρτυρεῖ ὁ Συνέσιος πολλαχοῦ τῶν ἔργων αὐτοῦ· (ἴδ. ἐπιστολ. 136, ἔνθα τὴν τῶν Πλουτάρχων ξυνωρίδα, φησὶν, ἀγείρειν τοὺς νέους οὐ τῇ φήμῃ τῶν λόγων, ἀλλὰ τοῖς ἐξ Ὑμηττοῦ σταμνίοις, καὶ ἐπιστολ. 54). Μεταξὺ τοῦ 402—404 εἰς γάμου κοινωνίαν ἐλθὼν (ἴδε **Druon** ἔνθ. ἀν. σελ 32)· κατὰ τὸ 407 ἢ 408 χριστιανὸς ἐγένετο, ὅτε κατὰ τὸ 410 ἐπίσκοπος Πτολεμαΐδος ἐχειροτονήθη ὑπὸ τοῦ Ἀλεξανδρείας Θεοφίλου. Τὰ τελευταῖα ταῦ βίου αὐτοῦ ἔτη πλήρη ταράχου καὶ ἠθικῆς ἐνοχλήσεως ἦν (παράβ. ἐπιστ. 89, 66, 70, 16,) μέχρι τοῦ 414, ὅτε ἐπελθὼν ὁ θάνατος ἀπήλλαξεν αὐτὸν τῶν τοῦ βίου κακῶν.— Πρὸς τῷ **Clausen** καὶ **Druon** ἔπιθι καὶ **Xaver Kraus, Studien über Synésios, iu Tübing Quart-Schrift, Jahr 1865, III.**

(β) Τοῦτο πολλαχοῦ ὁ αὐτὸς μαρτυρεῖ. Ἐν τῇ β΄. π. χ. καταστάσει ἀποδυρόμενος τὴν καταστροφὴν τῆς Πτολεμαΐδος φησί: Ὦ μοι Κυρήνη, ἧς αἱ δημόσιαι κύρβεις μέχρις ἐμοῦ κατάγουσι τὰς ἀφ'

τάτης τῆς ἐποχῆς ἐκείνης, τῆς φιλοσόφου Ὑπατίας τῆς τοῦ Θέωνος, τῆς γνησίας τῶν τῆς φιλοσοφίας ὀργίων καθηγεμόνος (Συνεσίου ἐπιστολὴ 136, ἔκδοσις Πεταυίου, Paris 1640) φέρων ἔδωκεν ἑαυτὸν εἰς τὴν τῆς φιλοσοφίας μελέτην, ἣν ἐτίμα τε καὶ ὅσα ἀνθρώπινα ἀγαθὰ προετίμα (ἐπιστολ. 103), περὶ ἧς δὲ πολλὰ συνεκεχύφει καὶ ἐν ἀρρήτων ἀρρητοτάτοις εἶχε (ἐπιστολ. 135) οὐ μὲν οὖν αὐτῇ καὶ μόνῃ προσκείμενος, ἀλλὰ μερίζων ἑκάστοτε τὸν χρόνον τῇ τε παιδιᾷ καὶ σπουδῇ (ἐπιστ. 105) καὶ τῇ εὐχῇ, ὡς ἐτέρωσε ὁ αὐτὸς ἐπιπροστίθησι (κατὰ Ἀνδρονίκου σελ. 194)· ἵνα γὰρ κατ' αὐτὸν ψυχὴ καὶ σῶμα ὑγιαίνῃ, τὸ μέν τι δεῖ πονεῖν, τὸ δὲ αἰνεῖν τὸν Θεόν. Καίτοι δὲ ὁ Συνέσιος οὐδέποτε φιλόσοφος δημόσιος ἐγένετο, οὐδὲ θεατροκοπίαις ἐπέθετο, οὐδὲ διδασκαλεῖον ἤνοιξε (κατὰ Ἀνδρονίκου σελ. 200) καὶ δή γε φιλοσοφικῆς πρωτοτυπίας ἐστερεῖτο (α) καὶ

Ἡρακλέους διαδοχάς. Ὦ μοι τῶν τάφων, ὧν οὐ μεθέξω τῶν δωρικῶν· ἔκδ. Krabinger Landesh, 1850 (Τ. Ι μόνον οἱ λόγοι καὶ τεμάχια τῶν ὁμιλιῶν) σελ. 387. Ἐν δὲ τῷ κατὰ Ἀνδρονίκου λόγῳ λέγει: ἀπ' Εὐρυσθένους τοῦ καταγαγόντος Δωριέας εἰς Σπάρτην, μέχρι τοῦ μοῦ πατρὸς αἱ διαδοχαὶ ταῖς δημοσίαις ἐνεκολάφθησαν κύρβεσιν· ἔκδοσις Παταυΐου σελ. 197. παράβ. καὶ ἐπιστολὴν 113.

(α) Ἰδοὺ τί περὶ τούτου φησὶ καὶ ὁ Γάλλος **Druon** ἔνθ. ἀνωτ. «Bien qu' une grandc partie de la vie de Synesius ait été consacrée, ainsi qu' il aime à le dire lui même, à l' étude de la philosophie, on ne voit point cependaut qu' il ait jamais fait école. Disciple des Alexandrins, il n' a guère fait qne reproduire les idées de ses maîtres. Il était de ces esprits souples et faciles (!) qui ont le goût plutôt que le génie de la métaphysique, et qui usent volontiers de la philosophie, mais à leurs heures, peur s' en faire un délassement et non une occupation véritable. Nulle part il n' a réuni en un corps de dortrines les principes auxquels il se rattachait· il faut les chercher épars ça et là, dans ses divers écrits et les coordonner.» **Druon**, Etudes sur Synésius, la vie et les œuvres de Synésius, Paris 1859. Ἀληθῶς ἔγκειταί τι ἀληθείας ἐν ταῖς κρίσεσι ταύταις, ἀλλὰ τὰςπάσας ἀποδεχθῆναι ἄτοπον· ὁ γὰρ Συνέσιος πολλαχοῦ ἰσχυρίζεται τὴν φιλοσοφίαν τὴν κυριωτέραν αὐτοῦ ἐνασχόλησιν γεγονέναι, τῇ ῥητορικῇ καὶ ταῖς ἑτέραις παιδιαῖς μεμιγμένην· ὄντως οὐκ ἀπετέλει παρ' αὐτῷ ἡ φιλοσοφία τὸ μόνον ἔργον, ἀλλ' οὐδ' ἥν τις de-

τῆς δεομένης τοῦ διανοεῖσθαι σαφηνείας, οὐδὲν ἧττον ὅμως ἦν τε φιλόσοφος καὶ ἀναμφιρρήστως ὑψοῦ που ἵστατο τῆς ἀναπτύξεως τῆς ἐν ᾗ ἐβίω ἐποχῆς. Συνενῶν τὴν ρητορικὴν τῇ φιλοσοφίᾳ, οὐ μὲν οὖν, ἀλλὰ καὶ τῶν μαθηματικῶν ἐπιστημῶν καὶ τῆς ἀστρονομίας ἐντριβὴς τυγχάνων, ἔτι δὲ εὐγενείᾳ χαρακτῆρος καὶ λοιποῖς ἑτέροις δώροις κοσμούμενος, ἄξιος γενέσθαι ἡμῖν ἐνταῦθα ἀφορμὴ μελέτης. Καὶ ὅτι μὲν τῆς νεοπλατωνικῆς φιλοσοφίας αἱρεσιώτης ἐτύγχανε, τοῦτο καὶ ἐξ αὐτοῦ τούτου δείκνυται χωρίοις τε καὶ φράσεσι τοῦ Πλωτίνου χρωμένου (παραβ. ἐπιστολ. 138), δειχθήσεται δὲ καὶ ἡμῖν παρακατιοῦσιν ἐκτενέστερον· ὅτι δὲ καὶ τοῦ Πλάτωνος καὶ Ἀριστοτέλους μεμυημένος ἦν, αὐτὸς οὗτος μαρτυρεῖ ἡ γ ε μ ό ν α ς αὐτοὺς ἐ ν τ ῇ φ ι λ ο σ ο φ ί ᾳ καλῶν(α) καὶ πολλαχοῦ τῶν αὐτῷ γεγραμμένων μεμνημένος τῶν τῆς φιλοσοφίας κορυφαίων, λέξεσί τε αὐτῶν καὶ δόξαις οὐκ ὀλίγαις χρώμενος(β). Ἀλλὰ μὴν καὶ ἑτέραν ἐπίδρασιν φιλοσοφικῶν θεωριῶν ἐπὶ τὸν Συνέσιον ἀνευρίσκομεν, τὸν π ε ρ ὶ Ἐ ν υ π ν ί ω ν φιλοσοφώτατον αὐτοῦ διεξιόντες λόγον· ἐν αὐτῷ γὰρ πολλαχοῦ π ε ρ ὶ λ ο γ ί ω ν χ α λ δ α ϊ κ ῶ ν λόγον ποιεῖται, ὥστε τὸν σχολιαστὴν αὐτοῦ Νικηφόρον τὸν Γρηγορᾶν θ ι α σ ώ τ η ν ἁ π ά ν τ ω ν χ α λ δ α ϊ κ ῶ ν ὀ ρ γ ί ω ν

---

l a s s e m e n t κατὰ τὸν Γαλάτην, ἀλλ' ἡ οὐσιώδης τοῦ πνεύματος αὐτοῦ ἐνασχόλησις.

(α) Περὶ τοῦδε τάδε καὶ Θεόδωρος ὁ Μετοχίτης φησίν: πάντων (φιλοσόφων) ἐστὶν ὡς εἰπεῖν κοινὸς θιασώτης καὶ συντελὴς, καὶ μάλιστά γε δὴ τῶν βελτίστων τῶν ἀπὸ Ἀριστοτέλους καὶ Πλάτωνος καὶ σύνδεσμός τις ἀμφοῖν κοινωνίας καὶ διαλλακτὴς εἰς τὰ νομιζόμενα καὶ δοκοῦντα φιλονείκως ἀντίθετα καὶ ἀπ' ἀμφοτέρων τὰ βέλτιστα πορίζεται. **Theod. Metochita Miscell· philos· et histori· Cap. 18** (ἐν τῷ Α'. Τόμῳ τῆς ἐκδόσεως τοῦ Συνεσίου ὑπὸ **Krabinger, Landesh, 1850**).

(β) Ἴδε ἐπιστολὴν 153, 139, 131, 130, 203 καὶ ἀλλαχοῦ· ἐπικυροῖ δὲ τὰ λεγόμενα καὶ Νικηφόρος ὁ Γρηγορᾶς λέγων: Οὕτω τοι αἱρεσιώτης τοῦ Πλάτωνός ἐστιν ὁ παρὼν Συνέσιος καὶ οὕτω τῆς ἐκείνου γλώττης ἐξήρτηται, ὥστε οὐ μόνον τῶν ἐκείνου δοξῶν τὰς πλείους εἰς ἄκρον ἐξεμελέτησε, ἀλλὰ καὶ αὐταῖς πολλαχοῦ κέχρηται ταῖς ἐκείνου λέξεσιν· ἴδε σχόλια παρὰ Πεταυΐῳ σελ. 359.

τὸν Συνέσιον καλέσαι (α). Εἰ δὲ καὶ ἡ Γνῶσις ἐπὶ τὸν ἄνδρα ἐπήρειαν ἔσχεν, περὶ τούτου ἀλλαχοῦ γενήσεταί μοι λόγος. Καὶ ταῦτα μὲν προοιμίου δίκην ὧδε εἰρήσθωσαν· ἤδη δὲ χωρήσωμεν ἐπὶ τὸ κύριον τῆς ἡμετέρας μελέτης, τὴν περὶ Θεοῦ φιλοσοφικὴν τοῦ Συνεσίου διδασκαλίαν, ἀρυόμενοι αὐτὴν ἐκ τῶν σωζομένων αὐτοῦ συγγραμμάτων, εἰς ἃ καὶ παραπέμπομεν τὸ μὲν κατὰ τὴν τοῦ **Krabiger** Τομ.Ι, Landsh 1850· τὸ δὲ κατὰ τὴν Διονυσίου Πεταυίου Paris, 1640 ἔκδοσιν.

§ 5.

Ἡ τοῦ Συνεσίου διδασκαλία ἐν ἅπασι μὲν τοῖς αὐτῷ γεγραμμένοις διεσκεδασμένη τῇδε κἀκεῖσε εὕρηται, ὡς ἐν τῷ περὶ Ἐνυπνίων λόγῳ, τῷ ἐγκωμίῳ Φαλάκρας καὶ τοῖς δύο περὶ Προνοίας λόγοις, ἰδίᾳ δὲ ἐν τοῖς διαβοήτοις αὐτοῦ ὕμνοις τὸν ἀριθμὸν δέκα. Ἀλλὰ πότε οἱ ὕμνοι οὗτοι ἐγράφησαν; ἆρα πρὸ τῆς εἰς τὸν Χριστιανισμὸν μεταβάσεως αὐτοῦ ἢ μετὰ ταῦτα; ἐκ γὰρ τῆς ἀκριβοῦς τοῦ πράγματος γνώσεως καὶ τὸ ἀκριβὲς τῆς τούτου διδασκαλίας ἐξήρτηται· εἰ μὲν γὰρ αὐτοὺς πρὸ τῆς εἰς Χριστὸν ἐπιστροφῆς τοῦ Συνεσίου θῶμεν, ἀνάγκη ἡγεῖσθαι καὶ τὴν διδασκαλίαν αὐτοῦ πάντῃ νεοπλατωνικὴν, εἰ δὲ τοὐναντίον, χριστιανικήν. Οὕτω τινὲς τὴν συγγραφὴν τῶν ὕμνων ἔταξαν ἐν χρόνῳ καθ' ὃν ὁ Συνέσιος ἐκ τῆς χριστιανικῆς ἔπνεεν αὔρας (β) ἄρα καὶ τὴν περὶ Θεοῦ δι-

(α) Ἰδοὺ τὸ χωρίον τοῦ Γρηγορᾶ οὐ μόνον περὶ τῶν Χαλδαϊκῶν, ἀλλὰ καὶ Αἰγυπτιακῶν καὶ τῶν λοιπῶν φιλοσοφημάτων μαρτυροῦν: Μηδὲ γὰρ ὁπόση κατὰ τὸν Ἕλληνα λόγον ἐστὶ ποικιλία, πάσης ἐς ἄκρον σπουδαστὴν καταστῆναι, ἀλλὰ καὶ τῶν χαλδαϊκῶν θιασώτην ἁπάντων ὀργίων· καὶ ὅσα δ' αὖ ἱερογραμματέων τῶν πάλαι παρ' Αἰγυπτίοις θαυμαστωθέντων βίβλοι καὶ μυστικαὶ τελεταὶ τοῖς ἔπειτα χρόνοις παρέδωκαν, καὶ ὅσα δελφῶν ἐδογμάτισαν θεολόγοι, οὐδὲ τούτων ἀτέλεστος ἔμεινεν ὁ ἀνήρ· ἀλλὰ ταῦτά τε καὶ ξὺν τούτοις ὅσα Πλάτωνες ἐξ Ἀθηνῶν κἀκ Σάμου Πυθαγόραι, παρ' Αἰγυπτίοις φοιτήσαντες ὤναντο, καὶ οὗτος ἀνὴρ εὐρώστως περὶ τὴν τοιαύτην ἐβάκχευσε τράπεζαν· ἴδε ἔνθα ἀνωτέρω σελ. 353.

(β) Τὴν γνώμην ταύτην ἀποδέχεται ὁ **Toussaint, Études sur la vie et les Idées de Synésius (in société litér' de l' université**

δασκαλίαν αὐτοῦ ὅλως χριστιανικῇ χροιᾷ ἐχρωμάτισαν. Ἀλλὰ καθ' ἡμᾶς γε κριτὰς, οὔτε πρὸ τῆς χριστιανίσεως τοῦ ὑμνογράφου πάντας δεῖ τοὺς ὕμνους ἀναγαγεῖν, οὔτε ἐφεξῆς, ἀλλὰ τινὰς μὲν πρὸ τοῦ χρόνου τούτου, τινὰς δὲ μετὰ ταῦτα. Κυρίως εἰπεῖν θετικῷ τῷ τρόπῳ οὐχ οἷοί τ' ἐσμὲν ἐξευρεῖν τὸν χρόνον τῆς αὐτῶν συγγραφῆς, πιθανότητι ὅμως χρώμενοι προσεγγίζομέν πως τῇ ἀληθείᾳ. Περὶ τοῦ τρίτου ὕμνου ἴσμεν σαφῶς ποιηθῆναι αὐτὸν τῷ Συνεσίῳ ἐκ τῆς εἰς Κωνσταντινούπολιν πρεσβείας ἐπανακάμψαντι, ἤτοι τῷ 400 ἢ 401 τῆς ἡμετέρας χρονολογίας· ἐν αὐτῷ γὰρ ἀποτεινόμενος τῷ τοῦ κόσμου κοιράνῳ ἀναφωνεῖ: τόδε σοι μεγάλου) κοίρανε κόσμου) τίσων ἔμολον) χρέος ἐκ Θρήκης) ἵνα τὸν τριέτιν) ᾤκησα ἀγυιὰν) παρ' ἀνακτόριον) γαίας μέλαθρον (ὕμνος III, στίχ. 427—434). Ἐν τῷ αὐτῷ ὕμνῳ ὁμοίως ἀναφέρει καὶ περὶ τῶν πόνων καὶ ὀδυνῶν, ἃς ἐν Κωνσταντινουπόλει ἔτλη ἐπ' ὤμων φέρων τὴν ματέρα πάτραν, ὡς καὶ περὶ τῆς ἐπισκέψεως αὐτοῦ τῶν ναῶν τῶν δρηστήρων θεῶν (στίχ. 459—64). Ὅτι δὲ οἱ πρὸ αὐτοῦ ὕμνοι, ὅ τε πρῶτος καὶ ὁ δεύτερος, προγενέστεροι ἀληθῶς τυγχάνουσι, τοῦτο δείκνυται ἐκ τῆς ἐν αὐτοῖς διδασκαλίας. Ἐν τῷ πρώτῳ ὡς καὶ τῷ δευτέρῳ ὕμνῳ ὁ Συνέσιος ὅλως τῇ Ὑπατίᾳ προσκείμενος καὶ ὑπὸ τῆς

---

catholique de Louvain v. I. 1840 Vol. 4) pag. 24. Ὁ συγγραφεὺς πάντα κινεῖ λίθον ὅπως τὸν Συνέσιον χριστιανίζοντα ἐν τῇ περὶ Θεοῦ διδασκαλίᾳ ἀποδείξῃ, πανταχοῦ δὲ τῶν ὕμνων αὐτοῦ χριστιανὸν φιλόσοφον ἀνευρίσκει, καίτοι τὴν περὶ παντὸς καὶ ἀνθρώπου διδασκαλίαν **aux conceptions néoplatoniciennes** ἀποδίδωσιν· πρὸς ὑποστήριξιν δὲ τούτου ἐπιπροστίθησι καὶ περὶ τοῦ χρόνου τῆς τῶν ὕμνων συγγραφῆς. **En général, il faut placer la composition des hymnes après son retour de Constantinople, entre son baptème et son élevation à l' épiscopat, à cette époque où ses relations avec les philosophes néoplatoniciens l' avaient fait dévier en quelques points de croyances pures de la foi. Ce qui achève de nous confirmer dans ce sentiment, c' est que les idées de Synésius sur la Trinité sont trop élevées pour appartenir à un philosophe païen.** Ἀλλ' ἐξάγεται ἄρα ἐκ τῆς τοῦ τρίτου ὕμνου συγγραφῆς μετὰ τὴν ἐκ τῆς εἰς Κωνσταντινούπολιν πρεσβείας ἐπιστροφὴν ὡς καὶ οἱ δύο πρῶτοι ἀκολούθως ἐποιήθησαν; πόθεν δὲ δείκνυται καὶ ἡ χριστιανικὴ διδασκαλία ἐν τοῖς τέτταρσι πρώτοις ὕμνοις;

φιλοσοφίας τῶν νεοπλατωνικῶν φλεγόμενος δοκεῖ. Ἐν αὐτοῖς μία ἐστὶν ἡ ὑ ψ ί σ τ η ἀ ρ χ ή, ὁ α ὐ τ ό σ σ υ τ ο ς Θ ε ὸ ς, ἡ π ρ ώ τ η μ ο ν ὰ ς, ἡ ἁ γ ν ὴ ἑ ν ὰ ς τ ῶ ν ἑ ν ο τ ή τ ω ν, ἥτις χυθεῖσα ἄρρητα τρικόρυμβον ἔσχεν ἀλκὰν (παράβ. ὕμν. I, στίχ. 52—70. II. στίχ. 25). Ἐν τῷ τρίτῳ μέντοι ὕμνῳ οὐδαμῶς τὸ πρῶτον τῆς Τριάδος ὑμνεῖται πρόσωπον, ἀλλ' ὁ πατὴρ, ὁ κύδιμος υἱὸς καὶ ἡ ἁγία πνοιά· (α) ὅ,τι δ' ἐν τῷ πρώτῳ καὶ δευτέρῳ ὕμνῳ π ε ρ ὶ τ ο ῦ ὑ ψ ί σ τ ο υ λέγεται ὄ ν τ ο ς, τοῦτο ἐν τῷ τρίτῳ τ ῷ Π α τ ρ ὶ ἀποδίδοται. Ἀνάγκη τοίνυν τοῦ τρίτου ὕμνου μετὰ τὴν ἐκ Κωνσταντινουπόλεως ἐπάνοδον ποιηθέντος, τὸν πρῶτον καὶ δεύτερον πρὸ τῆς πρεσβείας ἀναγαγεῖν ἐν ἔτει 398, ἐν ᾧ ὁ Συνέσιος χρόνῳ μακρὰν ἔτι τοῦ Χριστιανισμοῦ ἵστατο· ἐν αὐτοῖς γὰρ πλὴν τῆς περὶ τὴν διδασκαλίαν διαφορᾶς καί τι νεανικώτερον ἡμῖν καὶ γαληνότερον ἀπαντᾷ. Ὑπὸ τὴν ἐπίδρασιν τῆς αὐτῆς, ὡς ὁ τρίτος, διδασκαλίας ἐποιήθη τῷ Συνεσίῳ καὶ ὁ τέταρτος αὐτοῦ ὕμνος. Οὕτω τοίνυν ἐκ τῶν τεσσάρων πρώτων ὕμνων τοὺς μὲν δύο πρώτους πρὸ τῆς εἰς Κωνσταντινούπολιν πρεσβείας ἀνακτέον, τοὺς δ' ὑστέρους μετ' αὐτήν· περὶ δὲ τῶν λοιπῶν ἓξ μεταθεῖναι αὐτοὺς δεῖ εἰς ἐποχὴν πολὺ μεταγενεστέραν, οὐ μέν τοι μετὰ τὴν εἰς ἐπίσκοπον χειροτονίαν αὐτοῦ, εἰς ἐποχὴν, καθ' ἣν προσιτώτερος αὐτῷ ὁ Χριστιανισμὸς ἦν, δι' ὃ καὶ τὸν Χριστὸν αὐτὸν ὀνομαστὶ ἀνυμνεῖ (ὕμνος V στίχ. 5) καὶ τῆς Παρθένου μιμνήσκεται (ὕμν. V, στίχ. 1. VII στίχ. 4. IX στίχ. 2, 3. X, 1), καὶ τοῦ νεοπλατωνικοῦ μυστικισμοῦ παραιτεῖται.

(α) Ἐνῷ ἐν τῷ ὕμνῳ ὑμνῶν τὸ ὕ ψ ι σ τ ο ν ὂ ν λέγει: ὁ μὲν αὐτόσσυτος ἀρχά] ταμίας πατήρ τε ὄντων] ἀλόχευτος ὑψιθώκων] ὑπὲρ οὐρανοῦ Κυρήνων] ἀλύτῳ κύδεϊ γαίων] κτλ. μέχρι τοῦ 72 στίχ. καὶ ἐν τῷ β'. στίχ. 25: μία παγά, μία ῥίζα] τριφαὴς ἔλαμψε μορφά], ἐν τῷ γ'. οὐχ ἓ ν τὸ ἀνυμνούμενον. ἀλλὰ τρία ἐστί: Ὑμνῶ σε μονὰς] ὑμνῶ σε τ ρ ι ά ς· στίχ. 210, καὶ στίχ. 40]: Σοὶ τόνδε φέρω] αἶνον, ἀχράντων] καὶ π α ι δ ὶ σ ο φ ῷ]· ὡσαύτως καὶ ἐν τῷ δ'. ὕμν. στίχ. 87— ὑμνῶ δὲ γόνον] πρωτόγονον] καὶ πρωτοφαῆ]. Γόνε κύδιστε] πατρὸς ἀφθέγκτου. . . πατρὶ συνυμνῶ. Παράβαλε τὴν κριτικωτάτην τοῦ σοφοῦ Thilo πραγματείαν ἐπί τινων τοῦ δευτέρου ὕμνου στίχων: **Commentarium in Synésii Hymnum Secundum V- I—XXIV, Halle 1842**· καὶ τὴν σοφὴν τοῦ Clausen μονογραφίαν: **De**

§ 6.

Ἐρρέθη μοι ἐν τοῖς πρότερον τὸν Συνέσιον ἐν τῇ διδασκαλίᾳ αὐτοῦ τῷ Πλωτίνῳ ἰδίᾳ προσκεῖσθαι· τοῦτο καταφανὲς γενήσεται ἡμῖν ἐρευνήσουσι τὴν περὶ Θεοῦ αὐτοῦ διδασκαλίαν, δι' ἧς κεκαλυμμένος ὁ πλωτινισμὸς διήκει. Ὡς γνωστὸν ἐκ τῶν Ἑλλήνων φιλοσόφων ὁ Πλωτῖνος πρῶτος τὸ θεῖον ἐπέκεινα πάντων τῶν ὄντων ὤθησεν· ἐν ᾧ γὰρ κατὰ Πλάτωνα καὶ Ἀριστοτέλη ὁ Νοῦς ἐστι τὸ πρότερον, ἡ ὑψίστη καὶ ἀπόλυτος ἀρχὴ πάντων, πρῶτον ὁ Πλωτῖνος τὴν πρώτην ἀρχὴν ἐπέκεινα τίθησι πάντων, τοῦ τε νοῦ καὶ τῶν λοιπῶν ὄντων. Κατὰ τὸν Πλωτῖνον τὸ θεῖον ἀδύνατον εἶναί τι πολύ, ἀλλὰ τὸ ἕν, τοῦτο δὲ τὸ ἓν οὐδὲ νοῦς οἷόν τε εἶναι, τοῦ νοὸς πολλότητά τινα ἐν ἑαυτῷ περιλαμβάνοντος, τοὐλάχιστον τὴν τοῦ νοητοῦ καὶ νοός· ἀδύνατον τοίνυν τὸ πρῶτον εἶναι τὸν νοῦν, ἀλλ' ἐπέκεινα τοῦ νοῦ(α), καὶ ἐπέκεινα οὐσίας, πρὸ πάντων ἁπλοῦν εἶναι τοῦτο καὶ πάντων ἕτερον τῶν μετ' αὐτὸ (Πλωτ. Πραγ. VII § 1), πρότερον πάσης συνθέσεως καὶ οὐχ ὡς τὰ ἄλλα ἕν, ἃ πολλὰ ὄντα μετοχῇ ἑνός ἕν ἐστι (XXIX § 4). Ὅπως ὁ Πλωτῖνος οὕτω καὶ ὁ Συνέσιος τὸν Θεόν, τὴν πρώτην ἀρχήν, ἐπέκεινα νόων καὶ ἐπέκεινα θεῶν καλεῖ (ὕμν. III

Synésio philosopho, Hafniae 1831, ἔνθα ὁ συγγραφεὺς τῇ χρονολογικῇ μεθόδῳ χρώμενος συμπεραίνει τοὺς ἑπτὰ πρώτους ὕμνους πεποιῆσθαι τῷ Συνεσίῳ πρὸ τοῦ 409, ἐξ ὧν αὖθις τὸν τρίτον ἀνάγει μέχρι τοῦ 400 ἔτους· ἴδε καὶ **Volkmann, Synésius von Cyrene, Eine biographische Charakteristik aus den letzten Zeiten des untergehenden Hellenismus, Berlin 1869,** σελ. **201.**

(α) Παράβαλε **Zeller** ἔνθ. ἀνωτ. **Th.** 3, **Abt.** 2, σελ. 424 **Ueberweg** ἔνθ. ἀνωτ. σελ. 264. **Cousin Histoire Genér**· σελ. 193. Ἴδε καὶ Πλωτῖνον, ἔκδοσιν **Kirchhoff, Leipzig** 1856, Πραγμ. **XLIII** § 12. Δεῖ γὰρ δὴ πρὸ τοῦ πολλοῦ τὸ ἓν εἶναι, ἀφοῦ καὶ τὸ πολύ· καὶ § 11 : διὸ καὶ ὁ νοῦς οὗτος πολύς, ὅταν τὸ ἐπέκεινα ἐθέλῃ νοεῖν . . . δεῖ τὸ πάντῃ ἁπλοῦν καὶ πρῶτον ἁπάντων ἐπέκεινα νοῦ εἶναι· καὶ γὰρ εἰ νοήσει οὐκ ἐπέκεινα νοῦ, ἀλλὰ νοῦς ἔσται· ἀλλὰ εἰ νοῦς ἔσται καὶ αὐτὸ πλῆθος ἔσται.

στίχ. 167, 168)· καὶ κατὰ τὸν Συνέσιον τὸ ἓν τοῦτο οὐ τοῖς πολλοῖς καὶ ἄλλοις ἓν ταὐτίζεται, ἀλλὰ πρότερον ἓν τυγχάνει, μονὰς μονάδων καὶ ἀριθμὸς ἀριθμῶν (παράβαλ. καὶ ὕμν. Ι στίχ. 60—61). Ὅτι δὲ τὸ ἓν τοῦτο ἁπλοῦν τε ἐστι καὶ οὐκ ἐξ ἀντικειμένων σύνθετον, τοῦτο δείκνυσιν ἡμῖν ὁ Συνέσιος ἐν τῇ περὶ Ἐνυπνίων αὐτοῦ Πραγματείᾳ, σελ. 136· ἐνταῦθα γὰρ προκειμένου λόγου περὶ τῆς τοῦ παντὸς συμπνοίας καὶ ἁρμονίας ὡς καὶ τῆς ἐν τῷ παντὶ στάσεως, λέγει: οὐ γάρ ἐστιν ὁ κόσμος τὸ ἁπλῶς ἓν, ἀλλὰ τὸ ἐκ πολλῶν ἕν· τοῦτο δὲ τὸ ἁπλῶς ἓν οὐδὲν ἕτερον δοκεῖ εἶναι ἢ τὸ ἓν τοῦ Πλωτίνου, ἀφ' οὗ πᾶν τὸ πολὺ ἀφαιρετέον.

§ 7.

Ἀλλὰ τὸ ἓν τοῦτο ὡς ἐπέκεινα πάντων ἐστὶ, οὕτω δὴ καὶ ἐπέκεινα πάσης γνώσεως, ἄρρητον παντελῶς καὶ σιγῇ κεκαλυμμένον. Ἤδη Κλήμης ὁ Ἀλεξανδρεὺς παρατηρεῖ ὅτι οὐ μόνον ὁ Πλάτων, ἀλλὰ καὶ ὁ Ἀριστοτέλης καὶ οἱ Ἐπικούρειοι καὶ οἱ Στωϊκοὶ πολλὰ τῆς αὐτῶν διδασκαλίας ἐπεκρύπτοντο καὶ παρ' αὐτοῖς ἀπόρρητα εἶχον(α). Ἡ γνώμη αὕτη ἀπὸ τῶν ἀρχαιοτάτων καὶ ἐπὶ τοὺς νεωτέρους φιλοσόφους μετηνέχθη, μυστήριά τινα ἀποδεχομένους τοῖς πολλοῖς ἀπρόσιτα. Τῆς ἐννοίας ταύτης σφόδρα ἀντέχεται καὶ ὁ ἡμέτερος Συνέσιος, ὁ τὴν φιλοσοφίαν ἐν ἀρρήτων ἀρρητοτέροις τιθέμενος (Δίων σελ. 44) καὶ ὑπὸ τῷ προσχήματι φαυλοτέρας ὑποθέσεως κρύπτειν τὰ ἐν φιλοσοφίᾳ σπουδαῖα ἐπαγγελλόμενος (περὶ Προνοίας σελ. 124) (β). Ἀλλ' ὅπως τὰ πολλὰ τῆς φιλοσο

(α) Πάντες οὖν ὡς ἔπος εἰπεῖν, οἱ θεολογήσαντες βάρβαροί τε καὶ Ἕλληνες, τὰς μὲν ἀρχὰς τῶν πραγμάτων ἀπεκρύψαντο, τὴν δὲ ἀλήθειαν αἰνίγμασι καὶ συμβόλοις, ἀλληγορίαις τε αὖ καὶ μεταφοραῖς καὶ τοιούτοισί τισι τρόποις παραδεδόκασιν. Κλήμεντος Ἀλεξανδρέως Στρωμ. Βιβλίον Ε'.

(β) Ὅτι ὁ Συνέσιος καὶ τὴν φιλοσοφίαν αὐτὴν τοῖς πολλοῖς ἀπρόσιτον ἐθεώρει καὶ μυστηριώδη αὐτῇ χροιὰν ἀπεδίδου μαρτυροῦσι τὰ τούτου συγγράμματα· καὶ ἵνα παραλείψωμεν τὰς πολλὰς αὐτοῦ

φίας, οὕτω δὴ καὶ τὰ περὶ τῆς πρώτης ἀρχῆς ἢ τοῦ Θεοῦ ἄρρητα τοῖς φιλοσόφοις ἐδόκει εἶναι. Ἡ διδασκαλία αὕτη ἰδίως παρὰ τοῖς νεοπλατωνικοῖς εὕρηται φιλοσόφοις. Ἤδη καὶ πρὸ τούτων ὁ Νουμένιος ἄρρητα διδάσκει τὰ περὶ

μαρτυρίας, ἀρκείσθω ἡμῖν πρὸς τοῖς ἄνω, ὅ,τι πρὸς Ἑρκουλιανὸν τὸν φίλον αὐτοῦ ἔλεγε περὶ τῆς διδασκάλου αὐτῶν Ὑπατίας, ἀνενεγκεῖν: αὐτόπται γάρ τοι καὶ αὐτήκοοι γεγόναμεν τῆς γνησίας καθηγεμόνος τῶν φιλοσοφίας ὀργίων˙ ἐπιστολὴ 136, παράβ. καὶ 142, καὶ τὸν πρὸς Δίωνα καὶ περὶ Ἐνυπνίων λόγον. Καίτοι μὲν οὖν οὕτω σαφῶς παρὰ τῷ Συνεσίῳ τὸ μυστικὸν πνεῦμα ἀπαντᾷ, εὑρέθησαν μέντοι τινὲς ἀρνούμενοι τοῦτο καὶ εἰς τὰς αἰθερίους χώρας αὐτὸ παραπέμψαι βουλόμενοι. Οὕτως ὁ Γάλλος **Druon** ἐν τῷ ῥηθέντι αὐτοῦ συγγράμματι, φησί: **Faut-il cependant prendre au sérieux ces airs de mystére? Synésius aurait-il été l' adepte d' un enscignement ésotérique? Nous ne le croyons pas. Que Pythagore et plusieurs de ses successeurs aient réuni dans l' ombre quelques disciples choisis et éprouvès pour leur confier des doctrines dont la manifestatiou publique pouvait paraître une attente aux opinions religieuscs des contemporains, cela se conçoit sans peine, et l' Histoire est là pour attester que de telles précautions étaient légitimes. Mais au temps de Synésius, la philosophie n' avait plus de dangers à craindre˙ elle pouvait s' exprimer et s' exprimait hardiment et l' on ne voit point que les alexandrins aient eu à aiguiser ni à disimuller lenrs dogmes. Cette réserve calculée de Synésius doit donc être considerée comme un jeu d' esprit et une fantaisie d' artiste.** Ἀλλ' ἄπορον πῶς ὁ γαλάτης οὗτος τὴν τοῦ Συνεσίου στεῤῥὰν ταύτην γνώμην **jeu d' ésprit et fantasie d' artiste** καλεῖ, τοῦ Συνεσίου ἐν ταῖς πρὸς Ἑρκουλιανὸν ἐπιστολαῖς σπουδάζοντος καὶ οὐ παίζοντος˙ ἐνταῦθα γὰρ οὐ μόνον ἀριδήλως τοῦ τοιούτου μυστικισμοῦ ἔχεται, ἀλλὰ καὶ ἐλέγχει αὐτὸν ἀτελέστοις τὰ ὄργια τῆς φιλοσοφίας ἀποκαλύψαντα˙ παράβ. καὶ **Thilo** ἐν **Commentar**˙ σελ. 5. Ἀλλ' ὅτι ὁ Συνέσιος σπουδαίως καὶ στεῤῥῶς τὸ δόγμα τοῦτο ἐπρέσβευε μαρτυρεῖ καὶ ἡ ἱστορία˙ ὡς γνωστὸν γὰρ οὐ μόνον ὡς φιλόσοφος ἀπόκρυφα πολλὰ τῆς φιλοσοφίας ἡγεῖτο, ἀλλὰ καὶ εἰς τὸν Χριστιανισμὸν ἐπιστρέψας καὶ ἐπίσκοπος προχειρισθῆναι προτιθέμενος ἐδόξαζε: νοῦς μὲν οὖν φιλόσοφος ἐπόπτης ὢν τἀληθοῦς, συγχωρεῖ τῇ χρείᾳ τοῦ ψεύδους˙ ἀνάλογον γάρ ἐστι φῶς πρὸς ἀλήθειαν καὶ ὄμμα πρὸς δῆμον˙ ἢ οὖν ὀφθαλμὸς εἰς κα-

Θεοῦ(α)· κυρίως μέντοι εἰπεῖν ὁ Πλωτῖνος τὴν διδασκαλίαν ταύτην ἐπιστημονικῶς διεμορφώσατο. Τὸ γὰρ ἓν κατ' αὐτὸν ἐπέκεινα οὐσίας καὶ ἐνεργείας, ἐπέκεινα νοῦ καὶ νοήσεως τυγχάνον, ἄγνωστον καὶ ἄρρητόν ἐστι, ἀρνητικαῖς μόνον κατηγορίαις περικοσμούμενον(β). Ἀλλὰ καὶ ὁ Συνέσιος ἀπὸ τοῦ Θεοῦ πᾶν ὄνομα ἀφαιρεῖ, σχετικὰ πάντα τὰ πρὸς τὰ παρ' αὐτοῦ καλῶν· ἐν τῷ περὶ Βασιλείας λόγῳ ἀναγινώσκομεν: Οὐδὲν οὐδαμοῦ πω πέφηνεν ὄνομα τῆς οὐσίας ἁπτόμενον τοῦ Θεοῦ, ἀλλ' ἀτευκτοῦντες αὐτοῦ τῆς ἐμφάσεως ἄνθρωποι διὰ τῶν ἀπ' αὐτῶν ψαύειν ἐθέλουσιν αὐτοῦ· κἂν πατέρα, κἂν ποιητὴν, κἂν ὁτιοῦν εἴπῃς, κἂν ἀρχὴν, κἂν αἴτιον, ταῦτα πάντα σχέσεις εἰσὶν αὐτοῦ πρὸς τὰ παρ' αὐτοῦ. Ἀλλὰ καὶ ἐν τοῖς ὕμνοις αὐτοῦ πολλάκις ὁ λόγος περὶ τοῦ ἀρρήτου καὶ ἀγνώστου τοῦ Θεοῦ· οὕτω φέρ' εἰπεῖν ἐν ὕμνῳ Δ'. στίχ. 227 καλεῖ αὐτόν : πάτερ ἄγνωστε) πάτερ ἄρρητε) ἄγνωστε νόῳ) ἄρρητε λόγῳ), καὶ ἀλλαχοῦ.

κὸν ἂν ἀπολαύσειεν ἀπλήστου φωτὸς καὶ ᾗ τοῖς ὀφθαλμιῶσι τὸ σκότος ὠφελιμώτερον, ταύτῃ καὶ τὸ ψεῦδος ὄφελος εἶναι τίθεμαι δήμῳ καὶ *βλαβερὸν τὴν ἀλήθειαν τοῖς οὐκ ἰσχύουσιν ἐνατενίσαι πρὸς τὴν τῶν ὄντων ἐνάργειαν*· ἐπιστολ. 105. Ἄλλως τε καὶ, τὸ ἀπόρρητα ἔχειν πολλὰ τῆς φιλοσοφίας, οὐ μόνον Πυθαγόρειον δόγμα, ὡς ὁ γαλάτης ἰσχυρίζεται, ἐτύγχανον, ἀλλὰ καὶ τοῦ Πλάτωνος καὶ τῶν νεοπλατωνικῶν καὶ τῶν λοιπῶν Ἑλλήνων φιλοσόφων, ὡς ὁ Κλήμης διαβεβαιοῖ.

(α) Ἀφοσιοῦμαι δὲ τὰ λεχθέντα, καὶ ἔστω ἐκεῖνα ἄρρητα. Νουμένιος παρ' Εὐσεβίῳ, Εὐαγγελικὴ προπαρασκευὴ XI, 18.

(β) Διὸ καὶ ἄρρητον (τὸ ἓν) τῇ ἀληθείᾳ· ὅ,τι γὰρ ἂν εἴπῃς, τί ἐρεῖς· ἀλλὰ τὸ ἐπέκεινα πάντων καὶ ἐπέκεινα τοῦ σεμνοτάτου νοῦ ἐν τοῖς πᾶσι μόνον ἀληθὲς οὐκ ὄνομα ὂν αὐτοῦ, ἀλλ' ὅτι οὔτε τι τῶν πάντων οὔτε ὄνομα αὐτοῦ, ὅτι μηδὲν κατ' αὐτοῦ· ἀλλ' ὡς ἐνδέχεται ἡμῖν αὐτοῖς σημαίνειν ἐπιχειροῦμεν περὶ αὐτοῦ. Πλωτίν. Πραγμ. XLIII § 13. Παράβαλε καὶ Zeller ἔνθ. ἀνωτ. 3 Theil, II abtheil· σελ. 429 καὶ ἑξῆς. Herm. Kirchner, die Philosophie des Plotin, Halle 1854 σελ. 40—41.

§ 8.

Ἵνα μέντοι κάλλιον τὴν περὶ τοῦ ἀ ρ ρ ή τ ο υ διδασκαλίαν ταύτην τοῦ Συνεσίου νοήσωμεν, ἀνάγκη εἰδικώτερον τὰ κατ᾽ αὐτὴν ἐρευνῆσαι πρὸς τὰ τοῖς νεοπλατωνικοῖς λεχθέντα αὐτὴν παραβάλλοντας. Καὶ ὁ Πλωτῖνος, ὡς ἄνω ἐρρέθη, ἄρρητον τὸ ἓν ὑπελάμβανε(α) ἐπέκεινα αὐτὸ τιθεὶς καὶ νοῦ καὶ οὐσίας. Αὐτὸ κατακολουθοῦσι καὶ οἱ τούτου μαθηταὶ, οἵπερ συνῳδὰ τοῖς τότε κοινοῖς τ ῶ ν Χ α λ δ α ί ω ν λ ο γ ί ο ι ς, οὐ μόνον αὐτὸ ἄρρητον καὶ ἄγνωστον καὶ πάντων τῶν καταφατικῶν κατηγορημάτων ἐνδεὲς καλοῦσιν, ἀλλὰ καὶ σιγῇ καλύπτεσθαι καὶ διὰ σιγῆς θρησκεύεσθαι λέγουσιν. Ἤδη ὁ Πορφύριος ἐν τῷ περὶ τῶν Νυμφῶν ἄντρῳ κεφ. 27 ἐγκωμιάζων τοὺς Πυθαγορείους καὶ τῶν Αἰγυπτίων σοφοὺς, φησί: σ ε β ο μ έ ν ο υ ς ὑ π ὸ σ ι ω π ῇ Θεὸν ἀρχὴν τῶν ὅλων ἔχοντα· αὐτὰ δὲ ταῦτα παραινεῖ καὐτὸς ἐν τῷ περὶ ἀποχῆς βιβλίῳ II, κεφ. 34· διὰ δὲ σ ι γ ῆ ς κ α θ α ρ ᾶ ς καὶ τῶν περὶ αὐτοῦ καθαρῶν ἐννοιῶν θρησκεύομεν αὐτόν. Τὰ αὐτὰ διδάσκει καὶ ὁ Θεῖος Ἰάμβλιχος ἐν τῷ περὶ Αἰγυπτιακῶν μυστηρίων, αὐταῖς λέξεσι λέγων: ἐν ᾧ (τῷ ἑνὶ) δὴ τὸ πρῶτόν ἐστι νοοῦν καὶ τὸ πρῶτον νοητὸν, ὃ δ ὴ κ α ὶ δ ι ὰ σ ι γ ῆ ς μ ό ν η ς θ ε ρ α π ε ύ ε τ α ι. Ἀλλ᾽ ἰδίᾳ τὴν π ε ρ ὶ σ ι γ ῆ ς καὶ ἀ ρ ρ ή τ ο υ διδασκαλίαν ταύτην Πρόκλος ὁ διάδοχος ἐν διαφόροις τῶν σχολίων αὐτοῦ ἐκτίθησιν προσακολουθῶν καὶ τοῖς χαλδαϊκοῖς λογίοις. Ποιούμενος γὰρ τὸν λόγον ἐν τοῖς ἐν τῷ Κρατύλῳ σχολίοις περὶ τῆς τῶν πάντων ἐκ τοῦ ἑνὸς ἐξαρτήσεως ἄ ρ ρ η τ ο ν τ ὴ ν ἐ π έ κ ε ι ν α τ ῶ ν ν ο η τ ῶ ν α ἰ τ ί α ν καλεῖ(β) ἀλλὰ καὶ ἐν τῇ Πλάτωνος Θεολογίᾳ τῷ πάντων αἰτίῳ προσιέναι καὶ αὐτὸ ὑμνῆσαι βουλόμενος, οὐχ ὅτι γῆν καὶ οὐρανὸν ὑπέστησε, οὐδ᾽ αὖ ὅτι ψυχὰς καὶ ζώων ἁπάντων γενέσεις, ἐπιπροστίθησι: πρὸ δὲ τούτων

(α) Ὁ δὴ Πλωτῖνος καὶ τὴν πρὸς τὸ ἓν εὐχὴν ο ὐ λ ό γ ῳ γ ε γ ω ν ό τ ι φησὶ γενέσθαι: ὥστε οὖν λεγέσθω Θεὸν αὐτὸν ἐπικαλεσομένοις, οὐ λόγῳ γεγωνότι, ἀλλὰ τῇ ψυχῇ ἐκτείνασιν ἑαυτοὺς εἰς εὐχὴν πρὸς ἐκεῖνον. Πραγμ. X.

(β) Ἴδε σχόλια εἰς Κρατύλον ἔκδοσιν **Stallbaum** § 69.

ὡς πᾶν τὸ νοερὸν ἐξέφηνεν καὶ ὡς Θεός ἐστι Θεῶν ἁπάντων καὶ ὡς ἑνὰς ἑνάδων καὶ ὡς τῶν ἀδυνάτων ἐπέκεινα τῶν πρώτων καὶ ὡς πάσης σιγῆς ἀρρητότερον (Πρόκλου εἰς τὴν Πλάτωνος Θεολογίαν βιβλίον Β΄. κεφ. 11). Τὰ αὐτά που λέγει καὶ ἐν τῷ 21 κεφαλαίῳ τοῦ Ε΄. βιβλίου ἄρρητον τὸ ἓν διδάσκων καὶ πάσης τῆς ἐν λόγοις ἐνδείξεως ὑπεριδρυμένον, ἔτι δὲ καὶ ἐν τῷ τετάρτῳ κεφαλ. τοῦ β΄. βιβλ. ἄγνωστον αὐτὸ ἀποκαλεῖ καὶ ἄρρητον καὶ ἀμέθεκτον καὶ ὑπερπλῆρες ἀγαθότητος, ἀλλ' οὐδὲ λόγῳ διελθεῖν αὐτὸ θεμιτὸν, παρακατιών φησι, ἀλλὰ σιγῇ τὸ ἄρρητον αὐτοῦ καὶ πρὸ τῶν αἰτίων πάντων ἀναιτίως αἴτιον ἀνυμνεῖν (α). Ἡ περὶ τῆς τοῦ Θείου σιγῆς διδασκαλία αὕτη καὶ τοῖς Ἕλλησι μὲν, ἰδίᾳ δὲ τοῖς ἀνατολικοῖς λαοῖς οἰκεία ἦν, ὡς περὶ τούτου τὰ χαλδαϊκὰ μαρτυροῦσι λόγια. Ὅτι δὲ οἱ χαλδαϊκοὶ οὗτοι χρησμοὶ καὶ τοῖς Ἕλλησι, κυρίως δ' εἰπεῖν, τοῖς Νεοπλατωνικοῖς γνωστοὶ ἦσαν, μαρτυρήτω τῷ λόγῳ ὁ Πρόκλος, πολλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ μνείαν αὐτῶν ποιούμενος (β). Τὸν αὐτὸν τοῖς νεοπλατωνικοῖς τρόπον

(α) Παράβαλε καὶ σχόλια εἰς τὸν Παρμενίδην Τόμ. VI· εἰς τὸν Κρατύλον § 70· εἰς τὴν τοῦ Πλάτωνος Θεολογίαν βιβλ. Α΄. κεφάλ. 25. βιβλ. 4, 9, καὶ ἕτερα.

(β) Ὁ δέ γε Ἡσίοδος καὶ σιγῇ πολλὰ σέβει καὶ τὸ πρῶτον ὅλως οὐκ ὠνόμασεν, ἀλλ' ὅτι μὲν τὸ μετ' ἐκεῖνο ἀπ' ἄλλου προῆλθεν, δηλοῖ διὰ τοῦ: ἤτοι μὲν πρώτιστα χάος ἐγένετο· παντὶ γὰρ ἀδύνατον ἄνευ αἰτίου γένεσιν σχεῖν· ἀλλὰ τίς ὁ ὑποστάτης τοῦ χάους οὐκ εἴρηκεν, ἀμφοτέρους δὲ τοὺς πατέρας τῶν νοητῶν, τόν τε ἐξῃρημένον καὶ τὸν συντεταγμένον σεσιώπηκεν· ἄρρητοι γάρ εἰσι παντελῶς· ἀλλὰ καὶ ἐν τοῖς ἐφεξῆς τῶν δύο συστοιχιῶν, τὰ μὲν τῷ ἑνὶ σύστοιχα σιωπῇ παραδίδωσι.... Καὶ γὰρ τὰ λόγια (τὰ χαλδαϊκὰ) περὶ ἐκείνων ὡς ἀφθέγκτων ἐνεδείξατο καὶ προσέθηκε τό: σῖγ' ἔχε μύστα. Ἐν Κρατύλῳ § 115. Τῶν λογίων τούτων μέμνηται καὶ ἐν τῇ 105 § τῆς αὐτῆς συγγραφῆς: οἱ τὸν ὑπερκόσμιον πατρικὸν βυθὸν ἴστε νοοῦντες, λέγει ὁ ὕμνος, καὶ, διὸ καὶ ἐν τοῖς λογίοις τὴν πρωτίστην πηγὴν τῶν ἀμειλίκτων λέγεται περιέχειν, ἐποχεῖσθαι δὲ τοῖς ἄλλοις ἅπασιν: Νοῦς πατρὸς ἀραιοῖς ἐποχούμενος ἰθυντῆρσιν] ἄκναπτον στράπτουσιν ἀμειλίκτου πυρὸς ὁλκῆς), ἔστι γὰρ ὥς φησι τὸ λό-

καὶ ὁ Συνέσιος ἐν τοῖς ὕμνοις αὐτοῦ, ἄγνωστον καὶ ἄρρητον τὸ ἓν ἐπονομάζει καὶ ὅλως ὑπὸ σιγῇ κεκαλυμμένον. Ἐν τῷ πρώτῳ ὕμνῳ τὴν αὐτόσσυτον ἀρχὰν καὶ τὴν ἁγνὴν τῶν ἑνοτήτων ἑνάδα ὑμνῶν, αἴφνης παύεται τοῦ ὕμνου ἀναφωνῶν: Μένε μοι θρασεῖα φόρμιγξ) μένε μηδὲ φαῖνε δήμοις) τελετὰς ἀνοργιάστους)· ἴθι καὶ τὰ νέρθε φώνει) τὰ δ' ἄνω σιγὰ καλύπτει (α). Ὡσαύτως καὶ ἐν τῷ δευτέρῳ ὕμνῳ στίχ. 22: Τὰ πρόσω μάκαιρα σιγὰ) νοερῶν τε καὶ νοητῶν) ἄτομον τομὰν καλύπει. Ἔτι καὶ ἐν τῷ τετάρτῳ, ἔνθα ὑποφώσκει πως τὸ χριστιανικὸν φῶς, κρυφίαν καλεῖ ρίζαν πάντων, τὸν Θεὸν στίχ. 20—, ὑμνεῖ δὲ τὸν μάκαρα καὶ διὰ σιγᾶς στίχ. 83, βάθος δ' αὐτὸν ἀλλαχοῦ (ὕμν. Δ'. 52) καλεῖ καὶ βυθὸν καὶ βύθιον κάλλος (Δ'. 69) καὶ κρύφιον σπέρμα (70) καὶ φύσιν καὶ πατέρα ἄφθεγκτον (Γ'. 220) καὶ πατρῷον βυθὸν (Β' 27) καὶ βυθὸν θεολαμπῆ (Α'.στίχ.116) (β).

γιον ἀμιστύλλευτοι... ἱδρύσας ἑαυτὸν ἐν τῇ πατρικῇ σιγῇ καὶ πατὴρ πατέρων ἀνυμνούμενος. Ὅτι δὲ τὰ λόγια ταῦτα καὶ οἱ ὕμνοι, χαλδαϊκοί εἰσιν, ἀποδέχονται τοῦτο πολλοί. Παράβαλε Thilo ἐν τῷ ἤδη μνησθέντι Commentarium II σελ. 17, καὶ τὰς ἐν τῷ Κρατύλῳ τοῦ Πρόκλου σημειώσεις τοῦ Stallbaum.

(α) Περὶ αὐτοῦ λέγει καὶ ἐν τῇ § 8 τοῦ εἰς τὴν Φαλάκραν ἐγκωμίου: ὅσον μὲν οὖν ἐστι τοῦ θείου τὸ μὴ φαινόμενον τί ἄν τις περιεργάζοιτο, ἅπαξ γε μὴ βουλόμενον ἐμφανὲς εἶναι;

(β) Αἱ λέξεις αὗται, αἷς τισιν ὁ Συνέσιος περὶ Θεοῦ χρῆται, πολλοῖς ἀφορμὴν παρέσχον τοῦ ὑπολαβεῖν οὐ σμικρὰν τὴν ἐπ' αὐτὸν ῥοπὴν τῆς Γνώσεως. Ἀληθῶς καὶ παρὰ τοῖς γνωστικοῖς, ἰδίᾳ δὲ τῷ συστήματι τοῦ Βαλεντίνου ὅμοιαι περὶ Θεοῦ ἀπαντῶσιν ἐκφράσεις ὡς ἡ: βυθός, σιγή, προπάτωρ, ἄρρητος καὶ τὰ τοιαῦτα. Ἀλλ' ὅτι ὁ Συνέσιος αὐτὸς παρὰ τῶν γνωστικῶν παρέλαβεν ἀδυνατοῦμεν ἀποδεχθῆναι. Αἱ φράσεις αὗται οὐκ εἰσι κτῆμα τῶν γνωστικῶν ἀναφαίρετον, ἀλλὰ δὴ καὶ τοῖς νεοπλατωνικοῖς καὶ τοῖς χαλδαϊκοῖς λογίοις καὶ τῇ τότε φιλοσοφίᾳ καθόλου προσανήκουσιν. Οὕτω φέρ' εἰπεῖν ἐν τῷ περὶ Μυστηρίων τοῦ Ἰαμβλίχου εὕρηνται αἱ λέξεις αὐτοπάτωρ, αὐτόγονος, μονοπάτωρ (σελ. 292) προπάτωρ, ὅτι σιγῇ θεραπεύεται (σελ. 267) ὡς καὶ παρὰ τῷ Πρόκλῳ ἄρρητον (πολλαχοῦ) σιγήν, βυθὸν πατρικὸν (ἐν Τιμαίῳ σελ. 167) πηγήν, ῥίζαν, σπέρμα

Αἱ φράσεις δὲ καὶ λέξεις αὗται οὐδὲν ἕτερον ἀποδεικνῦσιν ἢ ὅτι ὁ Συνέσιος τὴν μυστηριώδη ταύτην περὶ Θεοῦ διδασκαλίαν παρά τε τοῦ Νεοπλατωνισμοῦ καὶ τῶν χαλδαϊκῶν λογίων παρείληφεν. Τοῦ τελευταίου μάρτυς πιστὸς καὶ ὁ σχο-

(ἐν Κρατύλῳ σελ. 72) τὸ θεῖον καλοῦντι. Ἀλλ' αἱ ἐκφράσεις αὗται καὶ παρὰ τοῖς χαλδαϊκοῖς ἀπαντῶσι λογίοις, ἔστι δ' ὅτε καὶ παρὰ Φίλωνι τῷ Ἰουδαίῳ, ὥστε κάλλιον ἂν ἐπίδρασιν τῆς τότε τάσεως ἐπὶ τὸν Συνέσιον ἀποδεχθείημεν ἢ τῆς Γνώσεως. Μάλιστα δέ τις τοσοῦτον ἀκρίτως τῆς δόξης ταύτης ἠμύνατο, ὥστε αὐτὴν ἀνευρεῖν ἡγήσατο καὶ ἐν τῇ ταὐτότητι τῆς ἐκφράσεως ἥτινι ὁ Συνέσιος ἐν τῷ δευτέρῳ χρῆται ὕμνῳ, αἰῶνα αἰώνων καλῶν τὸν Θεὸν καὶ αἰωνοτόκον καὶ αἰωνόβιον, ὡσεὶ ἐν τῷ αἰῶνι τούτῳ τοὺς τῶν γνωστικῶν αἰῶνας ἀνεκάλυπτεν (ἴδε **Druon** ἔνθ. ἀνωτέρω σελ. 108. παράβ. καὶ **Volkmann, Synésius** σελ. 199, 201· καὶ Πλωτίνου Πραγμ. Χ § 1 ὅπου τὸ ἐν ὄντως αἰὼν ἐπονομάζεται). Οὐχ ἧττον τῶν ἐκφράσεων τούτων ἀφορμὴ εἰς τὴν περὶ τῆς ἐπὶ τὸν Συνέσιον ἐπιδράσεως τῆς Γνώσεως δόξαν ἐγένετο ἡ περὶ τῶν δύο ἀρχῶν αὐτοῦ διδασκαλία· ἀλλὰ καὶ ἐνταῦθα τῷ Πλωτίνῳ μᾶλλον ἢ τῇ Γνώσει κατακολουθεῖ. Ὡς γνωστὸν ὁ Πλωτῖνος ἀπέναντι τοῦ νοητοῦ κόσμου, τὸν αἰσθητὸν ἢ ὑλικὸν ἀπεδέχετο, ἐν ᾧ οὐχ ὥσπερ ἐκεῖ νοῦς καὶ λόγος, ἀλλὰ μετοχὴ καὶ κρᾶμα αὐτῶν ἄρχει (Πλωτίν. Πραγμ. **XLII**, § 2), ἀντὶ ἑνότητος πολλότης, ἀντὶ δ' ἁρμονίας δυσαρμονία κυριεύει. Αὐτὸ τοῦτο δοξάζει καὶ ὁ ἡμέτερος Συνέσιος: τὰ πρῶτα τῶν ὄντων ἁπλᾶ, φησίν· κατιοῦσα δ' ἡ φύσις ποικίλλεται· ἡ δὲ ὕλη τῶν ὄντων τὸ ἔσχατον, ταύτῃ καὶ ποικιλώτατον (Φαλάκρας ἐγκώμ. § 7) καί: ἔστι γάρ τις ὡς ἐν συγγενείᾳ τοῖς μέρεσι καὶ διχόνοια· οὐ γάρ ἐστιν ὁ κόσμος τὸ ἁπλῶς ἕν, ἀλλὰ τὸ ἐκ πολλῶν ἕν. Καὶ ἔστιν ἐν αὐτῷ μέρη μέρεσι προσήγορα καὶ μαχόμενα καὶ τῆς στάσεως αὐτῶν εἰς τὴν τοῦ παντὸς ὁμόνοιαν συμφωνούσης, ὥσπερ ἡ λύρα σύστημα φθόγγων ἐστὶν ἀντιφώνων τε καὶ συμφώνων· τὸ δὲ ἐξ ἀντικειμένων ἓν ἁρμονία καὶ λύρας καὶ κόσμου, περὶ Ἐνυπνίων § 3. Βάσις μέντοι τοῦ κόσμου κατὰ τὸν Πλωτῖνον ἡ ὕλη ὑπάρχει, ἥτις οὐδὲν ἕτερον ἢ σκιὰ λόγου καὶ ἔκπτωσίς ἐστιν (Πραγμ. **XXV**, § 7) καθαρὰ στέρησις, τὸ ἄπειρον καὶ ἀπεριόριστον· καὶ ἐνταῦθα κυρίως κεῖται τὸ χαρακτηρῖζον τὴν διαφορὰν τῆς περὶ ὕλης διδασκαλίας τοῦ Πλωτίνου καὶ τῶν γνωστικῶν. Ἐνῷ γὰρ κατὰ Πλωτῖνον ἡ ὕλη τί μὴ ὂν τυγχάνει, τί ἄμορφον καὶ ἀσώματον, κατὰ τοὺς γνωστικοὺς ἡ ὕλη τὴν δευτέραν κακὴν ἀρχὴν ἀποτελεῖ ἔναντι τῆς πρώτης τῆς

λιαστὴς αὐτοῦ Νικηφόρος ὁ Γρηγορᾶς, ὅστις σχολιάζων τὴν ἐν τοῖς ἐνυπνίοις § 19 φράσιν τοῦ Συνεσίου: ἅτε γὰρ ἔχει (ἡ ψυχὴ) τὰ εἴδη καὶ ὅσα παρὰ νοῦ δέχεται, μόνη γενομένη παρέχει τοῖς ἐστραμμένοις ἐπὶ τὰ εἴσω καὶ τὰ παρὰ τοῦ θείου πορθμεύει, φησίν: Δύω κόσμους ἀνωτέρω φήσας, ἀμφιφαῆ καὶ ἀμφικνεφῆ . . . οὓς καὶ θεοὺς χαλδαϊκῶς ὀνομάζει, ἀκολούθως καὶ τάδε φησίν, ἃ δὴ καὶ ἔσται δῆλα, εἰ προσθείημεν τὰς αἰγυπτιακὰς καὶ χαλδαϊκὰς δόξας, αἷς οὗτος ἀκολουθεῖ· ἴδε Πεταύϊον σελ. 415· παράβ. καὶ σελ. 401, 391, 383, ἔνθα ὁ σοφὸς τοῦ Συνεσίου ἑρμηνευτὴς πολλὰς αὐτῷ τῶν Χαλδαίων γνώμας ἀποδίδωσιν.

ἀγαθῆς, διὸ καὶ ἀντιστρατευομένην αὐτῇ. Ναὶ μὲν δὴ καὶ παρὰ Πλωτίνῳ ἡ ὕλη ὁρίζεται ὡς τὸ κακόν, ἀλλ' ἐπειδὴ τὸ κακὸν οὐκ ἐν τῇ ψυχῇ ἀρχικῶς ἑδρεύει, ἀνάγκη γεννηθῆναι ἐκ συνδρομῆς τινος τῆς ψυχῆς μετὰ τοῦ κακοῦ, τῆς ὕλης (παράβ. **Zeller** ἔνθα ἀνωτ. σελ. 489—490). Οὕτω καὶ ὁ Συνέσιος ὁ τὴν ὕλην τὸ ἔσχατον τῶν ὄντων ἀποδεχόμενος ταύτῃ καὶ ποικιλώτατον, ὑπολαμβάνει κατὰ Πλωτῖνον ὡς τὸ κακόν, ὡς ἐν τῷ Α'. περὶ Προνοίας λόγῳ φησὶ § 1· δύο πηγὰς δὲ ἡ τοῦ κόσμου φύσις παρέχεται, τὴν μὲν φωτοειδῆ, τὴν δὲ ἀειδῆ· καὶ τὴν μὲν χαμόθεν ἀναβλύζουσαν, ἅτε ἐῤῥιζωμένην κάτω ποι καὶ τῶν τῆς γῆς χηραμῶν ἐξαλλομένην, ἡ δὲ τῶν οὐρανοῦ νώτων ἐξῆπται, ἔνθα οὐδεμία ἀνάγκη ἀποδεχθῆναι κατὰ τὸν **Krabinger** ἐπίδρασιν τοῦ περσικοῦ δυασμοῦ, καὶ τοῦ Πλωτίνου αὐτοῦ τὴν ὕλην ὡς ἕδραν τοῦ κακοῦ χαρακτηρίσαντος. Τὰς αὐτὰς περὶ ὕλης ἐκφράσεις εὑρίσκομεν καὶ ἐν τοῖς ὕμνοις τοῦ Συνεσίου. Οὕτω π. χ. ἐν τῷ Γ'. ὕμνῳ ἔνθα δεῖται τοῦ τῶν πάντων Θεοῦ ὅπως ἀπαλλάξῃ αὐτὸν τῆς λαμυρᾶς ὕλης φέροντα μὲν εὐηγενέος σπινθῆρα νόου, ἀλλ' ἐς βάθος ὕλας κατακεκλιμμένον στίχ. 550 — καὶ ἀλλαχοῦ. Παράβαλ. καὶ περὶ Ἐνυπνίων § 12 ὅπου τὴν ὕλην μελαναυγῆ καὶ ἀμφικνεφῆ καλεῖ χῶρον. Καὶ ἐν τῇ περὶ Ὕλης, τοίνυν, ὡς τοῦ κακοῦ διδασκαλίᾳ ὁ Συνέσιος τῷ Πλωτίνῳ ἀκολουθεῖ, καίτοι ἀλλαχοῦ πανθεϊσμόν τινα οὐσιώδη διδάσκειν δοκεῖ ὡς ἐν τῷ Γ'. ὕμνῳ στίχ. 180· (περὶ τούτου παράβαλε κατωτέρω § 13). Οὕτω τοίνυν ἀντὶ τοῦ ἀποδεχθῆναι ἐπίδρασιν τῆς Γνώσεως ἢ τοῦ μανιχαϊκοῦ δυασμοῦ ἐπὶ τὸν Συνέσιον (ἴδε **Druon** σελ. «36. **Toussaint**, σελ. 29—30) κάλλιον ἂν εἴποιμεν αὐτὸν κἀνταῦθα τῷ Πλωτίνῳ στοιχίσαι. Παράβ. **Tr. Xaver Kraus Studien über Synesius von Kyrene** (**in Tüb. theol. Q. Schrift. Jahr. 1866 Heft. I.**

§ 9.

Ἀλλὰ τὸ ἓ ν κατὰ Πλωτῖνον, ὅπως ἐπέκεινα πάντων ταύτη καὶ ἐπέκεινα πάσης ἰδιότητός ἐστιν· τῷ ἑνὶ οὐδὲν ἀποδοῦναι δυνάμεθα κατηγόρημα, ἀλλ' ἐν ἀφαιρέσει πάντα τὰ περὶ τούτου λέγεσθαι δεῖ· ἄμορφον τοίνυν τοῦτο καὶ ἄπειρόν ἐστι καὶ ἀνείδεον· ἀλλ' οὐ δὲ νοῦς, οὐδὲ βούλησις αὐτῷ ἀνήκει, οὔτ' αὖ ἐνέργεια, νοῦς μὲν ἐπεὶ τὸ νοοῦν νοητοῦ τινος πάντως πρὸς τὸ νοεῖν δεῖται, βούλησις δὲ καὶ ἐνέργεια, καὶ γὰρ ἑκάτερον ὁρμή τις ἐστι πρός τι ἐκτὸς τοῦ νοοῦντος ἀγαθόν· ὡς οὐδενὸς τοίνυν ἐνδεὲς ὑπάρχον, αὔταρκες· οὐδὲν ἄρα περὶ αὐτοῦ λέγομεν, οὐδὲ γνῶσιν οὐδὲ νόησιν αὐτοῦ ἔχομεν, λέγομεν δὲ μόνον ὃ μή ἐστιν, ὃ δὲ ἐστὶν οὐ λέγομεν (α). Οὕτω καὶ ὁ Συνέσιος ὡς ἀλλαχοῦ ἤδη ἐδείχθη (§ 1) οὐδὲν τοῦ θείου κατηγορεῖ θετικὸν, πάντα δὲ τὰ αὐτοῦ κατηγορήματα σχέσεις ἀποκαλεῖ· ὅτι δὲ οὐδὲ ἰδιότητας αὐτῷ προσαποδίδωσι δηλοῖ ἐν Δίωνι ἔνθα ἀπαθὲς αὐτὸ ἐπονομάζει: ἀπάθεια μὲν γὰρ ἐν Θεῷ φύσει, ἀρετῇ δὲ ἄνθρωποι κακίαν ἀμείβονται μετριοπαθεῖς γινόμενοι, σελ. 261. Ἔτι δὲ καὶ πολλαχοῦ αὐτῷ αὐτάρκειαν τίθησιν· ἐν γὰρ τῷ περὶ Βασιλείας λόγῳ τάδε φησίν: Ἀλλ' ὅ γε Βασιλεὺς οἶδεν ὡς τὸ μὲν αὔταρκες ἐν Θεῷ, ἀνθρώπῳ δὲ ἀνθρώπων ἄρχοντι πολλῶν καὶ ὁμοίων. οὐκ αὐτάρκης ἡ φύσις εἰς ἅπαντος ἔργου περινόησιν § 11. Συνῳδὰ τούτοις

(α) Τὸ δὲ ἓν ὥσπερ ἐπέκεινα νοῦ, οὕτω καὶ ἐπέκεινα γνώσεως, οὐδὲν δεόμενον ὥσπερ οὐδενὸς οὕτως οὐδὲ τοῦ γινώσκειν· ἀλλ' ἐστὶν ἐν δευτέρᾳ φύσει τὸ γινώσκειν· ἓν γάρ τι καὶ τὸ γινώσκειν· τὸ δὲ ἔστιν ἄνευ τοῦ τί ἕν· εἰ γὰρ τί ἕν, οὐκ ἂν αὐτόεν· τὸ γὰρ αὐτὸ πρὸ τοῦ τί· διὸ καὶ ἄῤῥητον τῇ ἀληθείᾳ· ὅ,τι γὰρ ἂν εἴπῃς τί ἐρεῖς· ἀλλὰ τὸ ἐπέκεινα πάντων καὶ ἐπέκεινα τοῦ σεμνοτάτου νοῦ ἐν τοῖς πᾶσι μόνον ἀληθὲς οὐκ ὄνομα ὂν αὐτοῦ, ἀλλ' ὅτι οὔτε τι τῶν πάντων, οὔτε ὄνομα αὐτοῦ, ὅτι μηδὲν κατ' αὐτοῦ, ἀλλ' ὡς ἐνδέχεται ἡμῖν αὐτοῖς σημαίνειν ἐπιχειροῦμεν περὶ αὐτοῦ Πραγ. **XLIII** § 3· ἴδε καὶ **IX** § 6 ἔνθα τὸ ἓν ἱκανώτατον ἁπάντων καὶ αὐταρκέστατον καὶ ἀνενδεέστατον ἀποκαλεῖ· παράβ. καὶ **Zeller** ἔνθ. ἀνωτ. σελ. 429—436 — **Kirchner** ἔνθ. ἀνωτ. σελ. 37—40.

διδάσκουσι καὶ τὰ τῶν Αἰγυπτίων μυστήρια· ἥτε γὰρ ἀλήθεια συνυπάρχει τοῖς θεοῖς, ὥσπερ καὶ ἡλίῳ τὸ φῶς κατ' οὐσίαν συνυφέστηκεν, καὶ ἅμα οὐδενὸς ἐνδεῆ τὸν Θεόν φαμεν(α) σελ. 90—91. Ἀλλὰ καὶ Πρόκλος ὁ διάδοχος τὰ αὐτὰ πολλαχοῦ διδάσκει, ἰδίᾳ δὲ ἐν τῇ Πλατωνικῇ Θεολογίᾳ πολλαῖς ταῖς ἀποδείξεσι χρῆται ἵνα τὸ τοῦ Θεοῦ αὔταρκες καὶ ἀμετάβλητον καὶ ἁπλοῦν ἀποδείξῃ· οὕτω φέρ' εἰπεῖν ἐν τῷ 19 κεφαλαίῳ τοῦ πρώτου βιβλίου φησί· ἀναγκαῖον ἄρα τὸ θεῖον πᾶν ἀμετάβλητον ἱδρῦσθαι, μένον ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει· τότε οὖν αὔταρκες ἐκ τούτων ἀναφαίνεται τῶν θεῶν καὶ τὸ ἄχραντον καὶ τὸ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον· εἰ γὰρ μὴ μεταβάλλουσιν ἐπὶ τὸ κρεῖττον, ὡς ἔχοντες τὸ τῆς οἰκείας φύσεως ἄριστον, αὐτάρκεις εἰσὶ καὶ οὐδὲν ἐνδεεῖς τῶν ὅλων ἀγαθῶν. Πρόκλου Θεολογία Πλατωνική, βιβλ. Ι κεφάλ. 19, σελ. 50· ἔκδ. Hamburgi. Παράβ. καὶ βιβλ. β'. κεφάλ. 4· σελ. 95.

§ 10.

Ἐν ταῖς ἀποφατικαῖς κατηγορίαις αἷς τισιν ὁ Πλωτῖνος τὸ ἓν κατακοσμεῖ, δυνάμεθα περαιτέρω καταριθμῆσαι καὶ τὴν ἀκινησίαν αὐτοῦ καὶ ἠρεμίαν. Ὡς γνωστὸν ἤδη ὁ Ἀριστοτέλης τὸ θεῖον ὡς ἐκείνην τὴν ἀρχὴν ὑπελάμβανεν ἐν ᾗ τὸ ὕψιστον καὶ ἔσχατον, τὸ αἰώνιον καὶ καθόλου καὶ ἡ πηγὴ πάσης ζωῆς καὶ κινήσεως ὑπάρχει· διὸ καὶ τὸ θεῖον τὸ πρῶτον κινοῦν ἐκάλει (Μεταφυσ. Λ. 8) καὶ πρώτην καὶ ἀΐδιον κίνησιν (αὐτόθι) καὶ ἐκεῖνο ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως (Μεταφ. Α. 3) καὶ ἀρχὴν κινήσεων καὶ μόνην κινητικὴν δύναμιν (Μεταφ. Ε, 12, 13), αὐτὸ δ' ἀκίνητον ἡγεῖτο. (Μεταφ. Λ, 8). (Παράβ. τοῦ σοφοῦ **Strümpel: Die Geschichte der theoretischen Philosophie der Griechen**, σελ, 338 —). Συνεπῶς τῇ περὶ ἑνὸς θεωρίᾳ αὐτοῦ, καθ' ἣν πᾶν ἀπὸ

(α) Ἴδε καὶ σελ. 33—34 ἔνθα φησί· ἀλλ' ὅτι παντελῶς ἐξήρηται (τὸ θεῖον) τῆς ἐναντιώσεως τοῦ πάσχειν καὶ ὅτι κατ' οὐσίαν ἔχει τὴν ἄτρεπτον στερεότητα διὰ τοῦτο κτλ. παράβαλε καὶ σελ. 264..

τοῦ Θεοῦ ἀφαιρεῖ, καὶ ὁ Πλωτῖνος ἀρνεῖται αὐτῷ τὴν κίνησιν· ἀποδίδωσι μὲν αὐτῷ τὴν ἰδιότητα, ὡς ἀπ' αὐτοῦ τὰ πάντα, καὶ δὴ καὶ κίνησις ἡ πρώτη, ἀρνεῖται ὅμως τὴν ἐν αὐτῷ κίνησιν· οὐ γὰρ κινεῖται· οὐδὲ γὰρ εἶχεν ἐν ᾧ κινηθήσεται· περὶ τί γὰρ ἢ πρὸς τί ἢ ἐν τίνι; (ἴδε Πραγμ. XXIX § 10). Μὴ κινούμενον τοίνυν τὸ ἓν ἀνάγκη ἐν ἀκινησίᾳ διατελεῖν καὶ ἡσυχίαν ἄγειν (α). Τῇ διδασκαλίᾳ ταύτῃ ἀκολουθεῖ καὶ ὁ ἡμέτερος Συνέσιος ἀκίνητον καὶ ἠρεμοῦν τὸ θεῖον ἀποδεχόμενος. Ἐν γὰρ τῷ πρώτῳ ὕμνῳ στίχ. 52 — λέγει: Ὁ μὲν αὐτόσσυτος ἀρχὰ) ταμίας πατήρ τε ὄντων) ἀλόχευτος ὑψιθώκων) ὑπὲρ οὐρανοῦ κυρήνων) ἀλύτῳ κύδεϊ γαίων) θεὸς ἔμπεδος θαάσσει, ἔνθα ὁ σοφὸς Thilo τὸ μὲν ἔμπεδος πρὸς τὸ ἀστυφέλικτος τοῦ Καλλιμάχου καὶ Διδύμου (παράβ. Καλλιμάχου ὕμνον 26 καὶ Διδύμου περὶ Τριάδος Γ΄. 2) παραβάλλει, τὸ δ' ὁμηρικὸν θαάσσειν ἀντὶ τοῦ ἀναπαύεσθαι καὶ ἡσυχάζειν, ἐν ἀντιθέσει πρὸς τὸ κινεῖσθαι καὶ ἐνεργεῖν, ὀρθότατα ὑπολαμβάνει. (β) Ἀλλὰ καὶ ἐν τῷ τρίτῳ ὕμνῳ ὄντος τοῦ λόγου περὶ τῆς ἐκ τοῦ Πατρὸς προχύσεως τοῦ Υἱοῦ φησιν: προχυθεὶς δὲ μένεις) ἀτόμοισι τομαῖς) μαιευόμενος) ὅπου τὸ μένεις οὐδὲν ἕτερον δοκεῖ μοι δηλοῦν ἢ τὸ ἐν ἡσυχίᾳ καὶ ἀκινησίᾳ διατελεῖν. Αὐτὸ τοῦτο περὶ τῆς τοῦ θείου ἠρεμίας δοκεῖ καὶ τῷ τῶν αἰγυπτιακῶν μυστηρίων συγγραφεῖ λέγοντι: πρὸ τῶν ὄντως ὄντων καὶ τῶν ὅλων ἀρχῶν, ἐστὶ Θεὸς εἷς, πρότερος

(α) Τὸ ἓν ἵνα τί ἄλλο παραγάγῃ ἐν ἡσυχίᾳ καὶ ἠρεμίᾳ εἶναι δεῖ· εἴ τι μετ' αὐτὸ ὑπέστη, μένοντος ἐκείνου ἐν τῷ αὐτοῦ ἤθει ὑπέστη· δεῖ οὖν ἵνα τί ἄλλο ὑποστῇ ὑσυχίαν ἄγειν ἐφ' ἑαυτοῦ πανταχοῦ ἐκεῖνο· παράβ. Zeller ἔνθ. ἀνωτ. σελ. 432, Kirchner ἔνθ. ἀνωτ. σελ. 44· ἴδε καὶ Πλωτίνου Πραγμ. XXVII § 10, ἔνθα παραβάλλων τὸ ἓν πρὸς πηγὴν ἐξ ἧς πάντα ἀποῤῥέει, μένουσαν αὐτὴν ἡσύχως ἀποκαλεῖ καὶ μὴ ἀναλισκομένην, ἀλλὰ καὶ πρὸς ῥίζαν παραβάλλει αὐτὸ παρέχουσαν μὲν τῷ φυτῷ τὴν πᾶσαν ζωὴν, αὐτὴν δὲ μένουσαν.

(β) Ἴδε Thilo Commentarium in Synesii II σελ. 18, ἔνθα καὶ ἐκ τοῦ Φίλωνος προσεπιφέρει ὀνομασίας τοῦ Θεοῦ ταὐτὸ δηλούσας ὡς: ἑστὼς, πάγιος, βέβαιος, ἀκλινὴς, ἀῤῥεπής.

καὶ τοῦ πρώτου Θεοῦ καὶ Βασιλέως, ἀκίνητος ἐν μονότητι τῆς ἑαυτοῦ ἑνότητος μένων· σελ. 203 (α).

§ 11.

Ἐν τῇ ἐννοίᾳ τοῦ πρώτου καὶ ἑνὸς ὡς ἀναγκαῖον χαρακτηριστικὸν κεῖται καὶ ἡ τῆς ἁπλότητος αὐτοῦ· ὅτι τὸ θεῖον ἁπλοῦν ἐστι, ἀρχαῖον ἦν θεώρημα τῇ νεοπλατωνικῇ φιλοσοφίᾳ μετενεχθέν. Πολλαχοῦ τῶν ἐννεάδων αὐτοῦ ὁ Πλωτῖνος τὸν λόγον ποιεῖται περὶ τῆς ἁπλότητος τοῦ Θεοῦ, καὶ περὶ τοῦ ὅτι τοῦτο ἀκήρατον(β) καὶ ἀμερές. Ὅμοια διδάσκει καὶ ὁ Κυρηναῖος φιλόσοφος ἐν τῷ περὶ Βασιλείας αὐτοῦ θαυμαστῷ λόγῳ λέγων: Ἀγαθόν που τὸν Θεὸν ὑμνοῦσιν ἅπαντες ἁπανταχοῦ καὶ σοφοὶ δῆμοι καὶ ἄσοφοι· καὶ ταύτῃ συγχωροῦσιν ἀλλήλοις καὶ ὁμοφωνοῦσιν ἅπαντες οἱ τὰ ἄλλα διαστάντες περὶ τῆς ὑπολήψεως τοῦ θείου καὶ τὴν ἀκήρατον αὐτοῦ καὶ ἀμερῆ φύσιν δόξαις ἑτερογνώμοσι μερισάμενοι (περὶ Βασιλείας § 9, παράβ. καὶ Φαλάκρας ἐγκώμιον σελ. 194)· ἀλλὰ καὶ ἐν τῷ τρίτῳ ὕμνῳ καὶ ἀλλαχοῦ καλεῖ τὸ θεῖον ἀγαθὸν ἀκηράσιον καὶ ἀμιγὲς στίχ. 674—76. (γ)

(α) Παράβαλε καὶ Πρόκλου Θεολογικὴν στοιχείωσιν κεφ. 14, περὶ ἀκινήτου καὶ αὐτοκινήτου ἀρχῆς ἢ αἰτίας, ἔνθα ἐν τρισὶ διαιρεῖ τὰ ὄντα τάξεσιν, εἰς ἀκίνητα, αὐτοκίνητα καὶ ἑτεροκίνητα καὶ ἐπιλέγει: ἔσται τί ἄρα ἀκίνητον πρῶτον κινοῦν· ἀλλ' εἰ ταῦτα, ἀνάγκη καὶ τὸ αὐτοκίνητον εἶναι, καὶ γὰρ σταίη τὰ πάντα.

(β) Ἴδε Πραγ. XLIV, § 2 ἔνθα τὴν οὐράνιον Ἀφροδίτην ψυχὴν θειοτάτην, ἀκήρατον ἐξ ἀκηράτου προσαγορεύει· ἐν δὲ τῇ X § 5 ἁπλοῦν τὸ ἓν καλεῖ καὶ πάντων ἀρχήν, ἀμερὲς δὲ ἐν τῇ 6ῃ παραγράφῳ τῆς αὐτῆς βίβλου. Παράβαλε καὶ Πραγματείαν Α'. § 7.

(γ) Τὴν περὶ ἁπλότητος τοῦ θείου διδασκαλίαν καὶ οἱ μεταγενέστεροι παρέλαβον νεοπλατωνικοὶ καθαρὰν καὶ ἀμετάβλητον· οὕτω χ. παρ. ὁ Πρόκλος ἐν τῇ Πλατωνικῇ Θεολογίᾳ κεφ. 19, φησίν. Δεῖ γὰρ δὴ τὸ τῶν πολυμόρφων γεννητικὸν ἁπλοῦν προϋπάρχειν τῶν γεννωμένων καθάπερ, δὴ καὶ τὸ τῶν πεπληθυσμένων ἑνοειδές· εἰ τοίνυν οἱ θεοὶ πάσης συνθέσεώς εἰσιν αἴτιοι καὶ τὴν τῶν

§ 12.

Ὡς γνωστὸν ἤδη ὁ Πλάτων τὴν τοῦ ἀγαθοῦ ἰδέαν τῷ Θεῷ ἐταύτισεν, ἀ γ α θ ὸ ν αὐτὸν ἀποκαλέσας. Τούτῳ στοιχῶν καὶ ὁ Πλωτῖνος πολλαχοῦ τὸ θεῖον τ ἀ γ α θ ὸ ν καλεῖ. Ἀλλὰ καὶ τὴν ὀνομασίαν ταύτην ἀρνητικῶς μόνον ὑπολαβεῖν δεῖ. Τὸ ἀγαθὸν τοῦτο οὐκ ἔστι τί γ έ ν ο ς κοινὸν τῷ ἑνὶ καὶ τοῖς ἐξ αὐτοῦ παραγομένοις, ἅπερ μόνον ἀγαθοειδῆ. Ὁ Θεὸς οὐκ ἔστιν ἀ γ α θ ὀ ς, ἀλλὰ τ ἀ γ α θ ὸ ν, ἀλλὰ καὶ τοῦτο αὖθις οὐ δεῖ αὐτὸν καλέσαι, εἰ τὸ ἀγαθὸν τοῦτο τί τῶν πάντων ἀγαθόν ἐστιν (α)· τῷ γὰρ ἑνὶ οὐδέν ἐστιν ἀγαθὸν, ἀλλ' ἔστιν ὑπεράγαθον καὶ αὐτὸ οὐχ ἑαυτῷ, τοῖς δ' ἄλλοις ἀγαθὸν εἴτι αὐτοῦ δύναται μεταλαμβάνειν (IX § 6). Τὸ ἀγαθὸν τοίνυν ἐν τῇ κυρίᾳ αὐτοῦ ἐννοίᾳ οὐδόλως τῷ θείῳ ἀποδοῦναι προσήκει, τοῦτο δὲ γίνεται μόνον τῆς πρὸς τὰ ὑπ' αὐτοῦ παραγόμενα σχέσεως ἕνεκεν(β). Αὐτὰ ταῦτα συνδοξάζει τῷ Πλωτίνῳ καὶ ὁ ἐκ Κυρήνης φιλόσοφος. Ἐν τῷ περὶ Βασιλείας λόγῳ § 9 λέγων ὡς ἐν τῷ περὶ ἀγαθότητος τοῦ θείου ζητήματι πάντες ὁμοφωνοῦσιν οἱ σοφοὶ δῆμοι καὶ ἄσοφοι, προστίθησιν : Ἀλλά τοι καὶ τοῦτο τ ἀ γ α θ ὸ ν τ ὸ ἀ ν α μ φ ι σ β ή τ η τ ο ν οὔ π ω μ η ν ύ ε ι τ ο ῦ Θ ε ο ῦ τ ὴ ν ἐ ν τ ῷ ε ἶ ν α ι ἕ δ ρ α ν, ἠ ρ ά ν ι σ τ α ι δ ὲ ἀ π ὸ τ ῶ ν ὑ σ τ έ ρ ω ν· ο ὐ γ ὰ ρ ἀ π ό λ υ τ ο ν ε ἰ ς ἀ κ ο ὴ ν ἔ ρ χ ε τ α ι τ ἀ γ α θ ὸ ν, ἀ λ λ' ἐ κ ε ί ν ο ι ς ἀ γ α θ ὸ ν ὧ ν ἐ-

---

ὄντων ποικιλίαν ἀφ' ἑαυτῶν παρήγαγον, δεῖ δήπου τ ὸ ἓ ν α ὐ τ ῶ ν τ ὸ τ ῶ ν ὅ λ ω ν γ ε ν ν η τ ι κ ὸ ν ἐ ν ἁ π λ ό τ η τ ι τ ὴ ν ὑ π ό σ τ α σ ι ν ἔ χ ε ι ν· κτλ.

(α) Οὐκ ἀγαθὸν λεκτέον τοῦτο, ὃ παρέχει, ἀλλὰ ἄλλως τἀγαθὸν ὑπὲρ τὰ ἄλλα ἀγαθά. Πραγ. IX § 6. Οὐδὲ τἀγαθὸν οὖν εἰ σημαίνει ἕν τι τῶν πάντων ἀγαθῶν, οὐδὲ τοῦτο· εἰ δὲ τὸ πρὸ πάντων ἔστω οὕτως ὠνομασμένον. Πραγμ. XLIII § 11. Ὅτι δ' ὁ Πλωτῖνος οὔτε τὸ ἀ γ α θ ὸ ν, ὡς οὐδὲ τ ὸ ἓ ν κ α ὶ π ρ ῶ τ ο ν καταφατικῶς τοῦ Θεοῦ κατηγορεῖ. Ἴδε **Zeller** ἔνθ. ἀνωτ. σελ. 437, **Schwegler** ἔνθ. ἀνωτ. σελ. 688 καὶ **Kirchner** ἔνθ. ἀνωτέρω σελ. 38—39.

(β) Ταύτῃ ἀγαθὸν τῶν πάντων, ὅτι καὶ ἔστι καὶ ἀνήρτηται πάντα εἰς αὐτὸ (XXIX § 9).

στι πρακτικὸν καὶ οἷς ἐστιν ἀπολαστικόν· τοῦτο γὰρ ἡ διάνοια βούλεται τοῦ ὀνόματος ἐφερμηνεύειν τὸν Θεὸν αἴτιον ἀγαθῶν. Ἀλλὰ κατὰ τὸν Πλωτῖνον ὥσπερ ἡ χιὼν ψύχει καὶ τὸ πῦρ θερμαίνει, οὕτω ἀδύνατον ἂν σταίη καὶ τὸ τελειότατον, τὸ πρῶτον ἀγαθὸν ἐν ἑαυτῷ, ὥσπερ φθονῆσαν ἑαυτοῦ ἢ ἀδυνατῆσαν (Πραγ. VII § 1)· οὕτω καὶ κατὰ τὸν Συνέσιον ὥσπερ φύσις, ὡς εἰπεῖν, πυρὸς θερμαίνειν, καὶ φωτὸς φωτίζεν, οὕτω δὴ καὶ τοῦ Θεοῦ τὸ ἀγαθὸν ποιεῖν (ἐπιστολ. 57) (α).

§ 13.

Ἓν τῶν κυριωτέρων ζητημάτων τῶν τοὺς καθ' ἡμᾶς σοφοὺς περὶ τῆς ἀρχῆς τῆς νεοπλατωνικῆς φιλοσοφίας ἀπασχολησάντων, ἐστὶ καὶ τὸ περὶ ἀπορροίας καὶ σχέσεως τοῦ παντὸς πρὸς τὸ ἕν. Ἐνῷ οἱ Γάλλοι φιλόσοφοι φρονοῦντες τὸν Νεοπλατωνισμὸν κλάδον καὶ ἀποκύημα τῆς ἀνατολικῆς φιλοσοφίας (§ 1), οὐσιώδη τινὰ πανθεϊσμὸν ἐν τῷ συστήματι τούτῳ εὑρεῖν ἡγήσαντο, ἔνιοι τῶν Γερμανῶν κριτικῶν (ἰδίᾳ ἀπὸ τοῦ Ἑγέλου κἀντεῦθεν) ἐς κόρακας τὴν γνώμην ταύτην παραπέμψαντες, ἠρνήθησαν τὸν ἀνατολικὸν τοῦτον πανθεϊσμὸν, δυναμικόν τινα μόνον ἀποδεχόμενοι πολὺ τοῦ πρώτου διαφέροντα(β).

(α) Ἡ φράσις αὕτη τοῦ Σενεσίου οὐ μόνον συγγένειαν διδασκαλίας τῷ Πλωτίνῳ προδίδωσι, ἀλλ' ὅτι καὶ πρὸ ὀφθαλμῶν ἴσως αὐτὸν ἔσχεν, ὅπερ καὶ ἄλλοθεν εἰκάσαι, τοῦ Συνεσίου πολλαῖς τοῦ Πλωτίνου παραβολαῖς χρωμένου.

(β) Τῆς γνώμης ταύτης ἔχεται ὁ περικλεὴς **Zeller** ἔνθ. ἀνωτέρω Τόμ. 3, Abt. 2, σελ. 451, καίτοι μετά τινος περιορισμοῦ. Κατὰ τὸν **Zeller** τῷ Πλωτίνῳ οὐδαμῶς ἀποδοῦναι δυνάμεθα τὴν ἀπόρροιαν καθ' ἣν ἔννοιαν τὸ ἓν καὶ ἀπόλυτον ἐν τῷ πεπερασμένῳ ἐκτείνεται καὶ μέρος τῆς οὐσίας αὐτοῦ τῷ δευτέρῳ μεταδίδωσιν, ἀλλὰ μόνον καθόσον ἐν τῷ συστήματι τούτῳ μετάβασίς τις τοῦ ἀπολύτου εἰς τὸ πεπερασμένον ἀπαντᾷ, ἄνευ μέντοι τινὸς ἐνεργείας τῆς βουλήσεως ἢ διανοίας ἢ καὶ λογικῆς ἀνάγκης, μόνον δὲ κατὰ φυσικὴν ἐνέργειαν. Ὅθεν καὶ συμπληρῶν τὴν σκέψιν αὐτοῦ ταύτην καταλήγει εἰς τὸ συμπέρασμα: **Noch richtiger wâre**

Ἀληθῶς καὶ κατὰ τὸν Πλωτῖνον τὸ θεῖον πανταχοῦ ἐστι παρὸν(α) ἐξ αὐτοῦ δὲ πάντα προέρχεται, οὐδαμῶς μέντοι τῆς οὐσίας αὐτοῦ μετέχοντα· οἷον, λέγει, λόγος ὁ ἐν προφορᾷ λόγου τοῦ ἐν ψυχῇ οὕτω τοι καὶ αὐτὴ λόγος νοῦ . . . οἷον πυρὸς τὸ μὲν ἡ συνοῦσα θερμότης, ἡ δὲ ἣν παρέχει· δεῖ δὲ λαβεῖν ἐκεῖ οὐκ ἐκρέουσαν, ἀλλὰ μένουσαν μὲν τὴν ἐν αὐτῇ, τὴν δὲ ἄλλην ὑφισταμένην (X, § 3). Φανερῶς τοίνυν καὶ διαρρήδην ὁ Πλωτῖνος ἀναίνεται τὴν περὶ ἀπορροίας κατ' οὐσίαν διδασκαλίαν. Τὰ κάτω οὐδαμῶς θεωρητέα ὡς ἀπόρροιαν τοῦ ὑψίστου, ὅπερ ἀκίνητον καὶ ἀμείωτον διατελεῖ, ὅμοιον πηγῇ διδούσῃ μὲν τοῖς ποταμοῖς ὕδωρ, αὐτῇ δὲ μὴ ἀναλισκομένῃ. Πανθεϊσμόν τινα δοκεῖ μοι καὶ τὸν Συνέσιον διδάσκειν οὐ πάνυ τοῦ Πλωτινικοῦ διάφορον. Καὶ κατὰ τὸν ἡμέτερον φιλόσοφον τὸ Θεῖον πηγῇ παραβάλλεται ἐκρεούσῃ καὶ ῥίζῃ παρέχοντι τῷ φυτῷ ὄρπακας καὶ κλάδους(β). Ἀλλ' ἤδη ἐν τῷ τρίτῳ ὕμνῳ ἔννοιά τις ἐκπέφρασται, πανθεϊσμὸν οὐχὶ δυναμικὸν ἀλλ' οὐσιώδη προδιδοῦσα· ἐν αὐτῷ τὸ θεῖον τῷ παντὶ ταὐτίζεται, δι' ἁπάντων δὲ ἥκει καὶ ῥίζα τε ἅμα καὶ ὄρπαξ προσαγορεύεται, ὅπερ ἀφορμήν τισι παρέσχε τὸν Συνέσιον ἀποκλῖναι εἰπεῖν τῆς Πλωτινικῆς διδασκαλίας(γ) ἀλλ' ἔμοι γε κριτῇ, ὁ Συνέσιος κἀντούτῳ τῷ Πλω-

---

es vielleicht, sie (die Emanation δηλ.) als einen dynamischen Pantheismus zü bezeichnen.

(α) Ἆρ' οὖν αὐτὸ φήσομεν παρεῖναι, ἢ αὐτὸ μὲν ἀφ' ἑαυτοῦ εἶναι, δυνάμεις δὲ ἀπ' αὐτοῦ ἰέναι ἐπὶ πάντα καὶ οὕτως αὐτὸ πανταχοῦ λέγεται εἶναι (XXII, 3.)

(β) Οὕτω ἐν τῷ πρώτῳ ὕμνῳ καλεῖ αὐτὸ παγὰν χυθεῖσαν ἄῤῥητα· ἐν τῷ δευτέρῳ παγὰν καὶ ῥίζαν παρεόντων, προτεόντων, μετεόντων, ἐνεόντων.

(γ) Ὁ Toussaint π. χ. ἀναφέρων περὶ τούτου φησὶν ἐν σελ. 30—31. Il ne faut pas croire que Synésius fasse allusion à l' infinité de Dieu· comme on voit en juger, le contexte ne favorise nullement cette intérprétation «Vous étes, dit-il en s' adressant à Dieu, un et tout, un entout, un avant tout· la racine et le rameau». Ce qui veut dire évidemment, d' après la suite même des paroles, est que les diverses parties du monde s' identifient avec la substance divine, et qui elles n' en sont que l' épanuissemment, du même que les

τίνῳ στοιχεῖ· ὡς γὰρ οὗτος τὴν ἐκ τοῦ ἑνὸς παραγωγὴν ὥς τινα ἔκχυσιν ὑπελάβετο, μένοντος μέντοι τοῦ ἑνὸς ἀδιαιρέτου, οὕτω καὶ ὁ ἡμέτερος φιλόσοφος καλεῖ μὲν τὸ ἓν πηγὴν καὶ ῥίζαν καὶ ὅτι ἐξεχύθη ἵνα τὸν παῖδα τέκῃ, ἀλλ' ἐπιπροστίθησιν ὅτι προχυθεὶς μένει ἀτόμοισι τομαῖς· ἐχύθη μὲν οὖν τὸ ἓν διὰ τὸ ὑπερπλῆρες αὐτοῦ, οὐ μέντοι ἐτάμη καὶ διῃρέθη, ὅπερ ἐστὶν ἐξεχύθη μὲν ἀπ' αὐτοῦ δύναμις, ὥσπερ ἀπὸ τοῦ ἡλίου τὸ φῶς καὶ τῆς πηγῆς τὸ ὕδωρ, αὐτὸ δὲ ἄτμητον ἔμεινεν· ἐκεῖνο δὲ τὸ παρ' ἑαυτῷ μένειν ὑπερπλῆρές ἐστιν ἀγαθῶν, ὑπερπλῆρες ὂν ἑαυτοῦ (περὶ Προνοίας λόγος Α΄. σελ. 113). Ἄλλως τε καὶ αἱ φράσεις τοῦ Συνεσίου οὐ πολλὴν ἔχουσι τὴν βαρύτητα πρὸς φιλοσοφικὴν τῶν πραγμάτων παράστασιν· ἀεὶ γὰρ τὴν φιλοσοφίαν τῇ συννάῳ αὐτῇ ποιήσει καὶ ῥητορικῇ συνδέων καταχρηστικῶς πολλάκις ἐκφράζεται καὶ περιττολογεῖ, διὸ καὶ πολλαχοῦ οὐκ ὀλίγαι αἱ ἀπαντῶσαι ἀντιφάσεις. Ἀποδεχόμεθα τοίνυν πανθεϊσμὸν παρὰ τῷ Συνεσίῳ οὐ μὲν οὖν οὐσιώδη ἀλλὰ δυναμικόν· ἐκ τοῦ ἑνὸς οὐχ ἡ οὐσία ἀλλ' αἱ δυνάμεις αὐτοῦ ἀπορρέουσιν καὶ τῷ παντὶ καθήκουσιν, ἐπομένως ἠδύνατο ὁ Συνέσιος καλέσαι τὸ ἓν πάντα καὶ Θεόν, ὡς τοῦτο καὶ ὁ Πλωτῖνος ποιεῖ ἀποκαλῶν τὸν κόσμον Θεὸν διὰ τὸ παρεῖναι ἐν ἑαυτῷ καὶ ζῆν

---

rameaux d' un arbre, participent à une seule et même substance avec la racine ne peuvent être considerès que comme l' extension, le développement de la substance arbre. Αὐτὸ τοῦτο ἀποδέχεται καὶ ὁ Krauss ἐν τῇ πολυτίμῳ αὐτοῦ περὶ Συνεσίου Πραγματείᾳ: Studien über Synesius (in Tübing quartat-schrift Jahr. 1865 Hell IV, λέγων: Synesius entfernt sich in seinen ersten Hymnen viel weiter als Plotin von dem theistischon Gottesbegriff und lässt an unserer Stelle auf eine Immanenz, auf einen substantialen Pantheismus schliessen, den er in dritten Hymnus geradezù zu lehren scheint, wenn er das Urwesen beschreibt als ἓν καὶ πάντα, ἓν καθ' ἑαυτὸ καὶ διὰ πάντων. Insofern nährt sich Sy. einem der letzten Auslaufer des Neoplatonismus, Damaskius, der allerdings, mit der scharfsten Hervorhebung des Gedankens, dass alles das eine und das eine alles sei, die entschiedenste Identitätslehre vorträgt. σελ. 583.

τὴν ψυχὴν ὅλην, τῷ γεννήσαντι πατρὶ ὁμοιουμένην καὶ κατὰ τὸ ἓν καὶ κατὰ τὸ πάντῃ (ἴδ. X, § 2).

§ 14.

Τοιαύτη μὲν οὖν ἐστι ἡ περὶ Θεοῦ τοῦ Συνεσίου διδασκαλία, ἣν συνοψίζοντες ὡς ἑξῆς ἐκτίθεμεν. Ὁ Θεὸς κατ' αὐτὸν ἡ πρώτη ἐστὶν ἀρχὴ αὐτοκίνητος, πατὴρ καὶ ταμίας πάντων τῶν ὄντων, ἐπὶ τῶν ὑψηλῶν τοῦ οὐρανοῦ καρήνων ὑπεριδρυμένος· τὸ θεῖόν ἐστιν ἡ ἁγία τῶν ἑνοτήτων ἑνάς, ἡ πρώτη μονάς, ἡ συνδέουσα ἐν ἑαυτῇ τὰς τῶν ἀκροτήτων ἁπλότητας (α). Τοῦτο ἐπέκεινά ἐστι νόων, ἐπέκεινα θεῶν (ὕμν. Γ'. 167, 168)· ὁ Θεός ἐστι, περαιτέρω, ῥίζα παρεόντων, προτεόντων, μετεόντων, ἐνεόντων· αὐτὸς πατὴρ καὶ μήτηρ, ἄρρην καὶ θῆλυ, αἰώνων αἰὼν (ὕμν. Β'. 61). Αὐτός ἐστιν ὁ ἀπάτωρ καὶ προπάτωρ), ἑνὸς πρότερον ἓν), τὸ σπέρμα τῶν ὄντων), πάντων κέντρον), ῥίζα κόσμου) ἀμφιφαὲς φῶς) ἀτρέκεια σοφὰ) παγῶν παγὰ) ἀρχῶν ἀρχὰ) ῥιζῶν ῥίζα) ἀριθμῶν ἀριθμὸς) νοῦς καὶ νοερὸν) καὶ τὸ νοητὸν) καὶ πρὸ νοητοῦ ὕμν. Γ'. 146· αὐτὸς ἰδεῶν ἰδέα, βύθιον κάλλος, κρύφιον σπέρμα, ὕμν. Δ'. 64. Ταύτην τὴν ὑπερούσιον ἑνάδα πάντα τὰ ἐν τῷ κόσμῳ καὶ ἔμψυχα καὶ ἄψυχα, καὶ φυτὰ καὶ ζῶα καὶ ἄνθρωποι ἀνυμνοῦσιν (β), ταύτην μάκαιρα σιγὰ καλύπτει, κεκρυμμένη δὲ καὶ ἄνω πάσης γνώσεως τυγχάνει(γ)· ὕμν· Α'. 74· ὕμν. Β'. στίχ. 22.

(α) Ὁ μὲν αὐτόσσυτος ἀρχὰ] ταμίας πατήρ τε ὄντων] ἀλόχευτος, ὑψιθώκων] ὑπὲρ οὐρανοῦ καρήνων] ἀλύτῳ κύδεϊ γαίων] Θεὸς ἔμπεδος θαάσσει]· ἑνοτήτων ἑνὰς ἁγνὴ] μονάδων μονάς τε πρώτη] ἁπλότητας ἀκροτήτων] ἑνώσασα· ὕμνος Α'. 52—.

(β) Μάτειρα φύσις] ἰδίαις χρόαις] ἰδίοις ἔργοις] δαιδαλλομένων] ἐκ δὲ ζώων] ἑτεροφθόγγων] μίαν ἁρμονίαν] ὁμόφωνον ἄγει]. Σοὶ πάντα φέρει] αἶνον ἀγήρων] καὶ γᾶς ῥίζαι] ὕδωρ ἀὴρ] σώματα πάντα] πνεύματα πάντα] σπέρματα καρποὶ] φυτὰ καὶ πόαι] ῥίζαι βοτάναι] βοτὰ καὶ πτηνὰ] καὶ νηχομένων] νεπόδων ἀγέλαι]· ἴδε καὶ ψυχὰν] ὀλιγοδρανέα] ὀλιγηπελέα] ἐπὶ σᾶς Λιβύας] ἐπὶ σᾶς σεπτᾶς] ἱερηπολίας] ὁσίαις εὐχαῖς] ἐπιμελουμέναν]· ὕμν. Γ'. 335.

(γ) Οὐδόλως ἀποξενώσει ἡμᾶς ὡς ὁ Συνέσιος πολλαχοῦ τὸν Θεὸν

§ 15.

'Αλλὰ τὸ ἓν τοῦτο ὡς ἔστι Μ ο ν ὰ ς, ἔστιν ἅμα καὶ Τ ρ ι ὰ ς, (α) τοῦτο δὲ φέρει ἡμᾶς εἰς τὴν περὶ τῆς ἀπὸ τοῦ ἑνὸς παραγωγῆς τῶν δύο ἑτέρων ὑποστάσεων τοῦ νοῦ καὶ τῆς ψυχῆς, ἢ ε ἰ ς τ ὴ ν π ε ρ ὶ Τ ρ ι ά δ ο ς δ ι δ α σ κ α λ ί α ν. 'Ερρέθη ἀνωτέρω (§ 11) τὸν Πλωτῖνον τὸ ἓν ἀκίνητον εἶναι ἀποδέχεσθαι· τοῦτ' αὐτὸ διδάσκει ὁ ἀρχηγὸς τῆς νεοπλατωνικῆς σχολῆς καὶ ἐν τῇ ἀπ' αὐτοῦ παραγωγῇ τῶν ὄντων· ἵνα τὸ ἓν παραγάγῃ τί ἀνάγκη μὴ κινεῖσθαι(β) εἰ γὰρ κινηθέντος αὐτοῦ τι γένοιτο, τρίτον ἀπ' ἐκείνου τὸ γινόμενον μετὰ τὴν κίνησιν ἂν γένοιτο καὶ οὐ δεύτερον· εἴτι δεύτερον οὖν μετ' αὐτὸ γένοιτο, ἀνάγκη ὑποστῆναι τοῦτο οὐ προσνεύσαντος ἐκείνου οὐδὲ βουληθέντος οὐδὲ ὅλως κινηθέντος. Τὸ δεύτερον τοῦτο, ὅπερ ἀπὸ τοῦ ἑνὸς ὑφίσταται ὁ ν ο ῦ ς ἐστιν. 'Αλλὰ πῶς ὁ νοῦς ἀπὸ τοῦ ἑνὸς παράγεται; 'Ενταῦθα ὁ Πλωτῖνος εἰς εἰκόνας καὶ παραβολὰς καταφεύγει· ὅπως, λέγει, ἐκ τοῦ ἡλίου τὸ φῶς παράγεται ἐκείνου μένοντος, ὅπως ἡ θερμότης ἐκ τοῦ πυρὸς, ἀλλ' ὅπερ καταλληλότερον, ὅπως ἡ ὀσμὴ ἐκ τῶν εὐωδῶν(γ) οὕτω δὴ καὶ ὁ νοῦς ἐκ τοῦ

ν ο ῦ ν προσαγορεύει π ρ ο α ν ο ύ σ ι ο ν (οὕτως ἐν τῷ ά. ὕμνῳ καλεῖ αὐτὸν ν ο ῦ ν ν ο ε ρ η τ ό κ ο ν, ν ο ῦ ν κ ε κ ά λ υ μ μ έ ν ο ν)· τοῦτ' αὐτὸ πράττουσι καὶ οἱ μετὰ ταῦτα νεοπλατωνικοὶ ὡς ὁ Πρόκλος τὸ θεῖον ν ο ῦ ν ἄ ϋ λ ο ν ἐπονομάζων· παράβαλε σχόλια ἐν Κρατύλῳ § 105.

(α) Μονὰς εἶ τριὰς ὢν] μονὰς ἃ δὴ μένει] καὶ τριὰς εἶ δή· ὕμν. Γ': 117—120.

(β) Παντὶ τῷ κινουμένῳ δεῖ τι εἶναι πρὸς ὃ κινεῖται· μὴ ὄντος δὲ ἐκείνῳ (τῷ ἑνὶ) μηδενὸς μὴ τιθώμεθα αὐτὸ κινεῖσθαι, ἀ λ λ' ε ἴ τ ι μ ε τ' α ὐ τ ὸ γ ί ν ε τ α ι, ἐ π ι σ τ ρ α φ έ ν τ ο ς ἀ ε ὶ ἐ κ ε ί ν ο υ π ρ ὸ ς α ὐ τ ὸ ἀ ν α γ κ α ῖ ό ν ἐ σ τ ι γεγονέναι (Πλωτίνου X, 6).

(γ) Πῶς οὖν; (ὑφίσταται τὸ δεύτερον) καὶ τί δεῖ νοῆσαι περὶ ἐκεῖνο μένον; οἷον ἡλίου τὸ περὶ αὐτὸν φῶς περιθέον, ἐξ αὐτοῦ ἀεὶ γεννώμενον μένοντος· καὶ πάντα τὰ ὄντα ἕως μένει ἐκ τῆς αὐτῶν οὐσίας ἀναγκαίαν τὴν περὶ αὐτὰ πρὸς τὸ ἔξω αὐτῶν ἐκ τῆς παρούσης δυνάμεως δίδωσιν αὐτῶν ἐξηρτημένην ὑπόστασιν, εἰκόνα οὖσαν ἀρχέτυπον ὧν ἐξέειν, πῦρ μὲν τὴν παρ' αὐτοῦ θερμότητα· καὶ χιὼν οὐκ εἴσω μόνον τὸ ψυχρὸν κατέχει· μάλιστα δὲ ὅσα εὐώδη μαρτυρεῖ τούτῳ. X, 6.

ἑνός· ἀλλ' ὁ νοῦς ἐκ τοῦ ἑνὸς παράγεται οἷον ὑπερρυέντος αὐτοῦ, τὸ δὲ ὑπερπλῆρες αὐτοῦ πεποίηκεν ἄλλο. (α) Ὅπως ὁ Πλωτῖνος, οὕτω καὶ ὁ Συνέσιος τὸ ἓν ὑπολαμβάνει ὡς ἀρχὴν καὶ πηγὴν πάντων (περὶ Βασιλείας σελ. 72). Τοῦτο τὸ ἓν οὐ κινεῖται, ἀλλ' ἐν ἡσυχίᾳ διατελεῖ (§ 11), τὸ πρῶτον δὲ τῶν ἀπ' αὐτοῦ γεννωμένων ὁ νοῦς ἐστιν. Ὄντως ἡ περὶ τῶν θείων ὑποστάσεων διδασκαλία ἀσαφὴς παρὰ τῷ Συνεσίῳ εὕρηται καὶ συνεσκιασμένη, ὅπως τοῦτο ῥᾴδιον εἰκάσαι ἐκ τοῦ παρ' αὐτῷ κυριεύοντος μυστικισμοῦ, οὐχ ἧττον μέντοι οἷοί τ' ἐσμὲν ἀνευρεῖν αὐτὴν τῇδε κἀκεῖσε τὸ μὲν διαρρήδην, τὸ δὲ σκοτεινῶς ἐκπεφρασμένην. Οὕτως ἐν τῷ πρώτῳ ὕμνῳ φησίν: ὁ δὲ νοῦς οἷσιν ἤδη) μέλεται νόοισι κόσμοις)· ἀγαθὰ γὰρ ἔνθεν ἤδη) βροτέου πνεύματος ἀρχὰ) ἀμερίστως ἐμερίσθη)· ὁ καταβάτας ἐς ὕλαν) νόος ἄφθιτος τοκήων) θεοκοιράνων ἀπορρὼξ) ὅλος εἰς ὅλον δεδυκὼς) κύτος οὐρανὸν ἑλίσσει· στίχ. 78—· ἀναμφίβολον δὲ ὅτι ἐνταῦθα ὁ ποιητὴς περὶ τοῦ Θείου νοῦ τὸν λόγον ποιεῖται, οὗτινος μερίδες ἐν τῇ ὕλῃ καταβᾶσαι δνοφερὰν ἤρυσαν λάθαν, ὅθεν καὶ τελευτῶν φησι περὶ τούτου: χθόνα θαυμάσας ἀτερπῆ) Θεὸς εἰς θνητὰ δεδορκώς. Ἀλλὰ καὶ ἐν τῇ ἀρχῇ τοῦ δευτέρου ὕμνου, προκειμένου περὶ ἐρήμου τινὸς ῥοῦ ἀστέρων (ἴδε κατωτέρω) ἐπιπροστίθησιν: Μέγαν ἀμφὶ νοῦν χορεύει (ὁ ῥοῦς τῶν ἀστέρων), ὃς ἄνακτος κόσμου) πολιοῖς ἔρεψε ταρσοῖς· ὕμν· β'. (β)· ἔτι δ' ὁ Συνέσιος ἐνταῦθα νοῦν καλεῖ, ἀλλαχοῦ σοφίαν ἐπονομάζει καὶ γόνον πρωτόγονον καὶ παῖδα σοφὸν καὶ κόσμου ἡγέτην καὶ κόρον(γ). Ἀλλὰ σαφέ-

---

(α) Καὶ πρώτη οἷον γέννησις αὕτη. ὂν γὰρ τέλειον (τὸ ἓν) τῷ μηδὲν ζητεῖν μηδὲ ἔχειν μηδὲ δεῖσθαι, οἷον ὑπερεῤῥύη καὶ τὸ ὑπερπλῆρες αὐτοῦ πεποίηκεν ἄλλο· τὸ δὲ γενόμενον εἰς αὐτὸ ἐπεστράφη καὶ ἐπληρώθη καὶ ἐγένετο πρὸς αὐτὸ βλέπον καὶ νοῦς οὕτως· καὶ ἡ μὲν πρὸς ἐκεῖνο στάσις αὐτοῦ τὸ ὂν ἐποίησεν ἡ δὲ πρὸς αὐτὸ θέα τὸν νοῦν. XI § 1.

(β) Ἐν τῷ αὐτῷ ὕμνῳ προκειμένου περὶ τῆς ἀπὸ τοῦ νοῦ ἀποῤῥοῆς τῶν πνευμάτων φησίν: στρατὸς ἀγγέλων ἀγήρως] τὰ μὲν ἐς νόων δεδορκὼς] δρέπεται κάλλεος ἀρχὰν] τὰ δ' ἐς ἄντυγας δεδορκὼς] διέπει βένθεα κόσμου.

(γ) Παράβαλε τὸν β'. καὶ γ'. ὕμνον· λίαν δὲ περίεργον ὅτι καὶ

στερον ὡς γ'ἐμοὶ δοκεῖ ἡ τοῦ νοῦ ὕπαρξις ἐν τῷ περὶ Προνοίας β'. λόγῳ ἐκπέφρασται, ἔνθα ὁμιλῶν περὶ τοῦ τρίτου Θεοῦ τῆς ψυχῆς φησιν: ἦν ὁ πατὴρ μὲν αὐτῆς, τοῦ δὲ σωματικοῦ κόσμου δημιουργὸς ἐπισυνήγαγε τῷ κόσμῳ σελ. 198. Ἐνταῦθα πατὴρ τῆς ψυχῆς καὶ δημιουργὸς τοῦ κόσμου, οὐδεὶς ἕτερος δυνατὸν εἶναι ἢ ὁ νοῦς, ὅσπερ τήν τε ψυχὴν παρήγαγε καὶ τὸν κόσμον ἐδημιούργησε, ὅπερ δὴ καὶ ἡ νεοπλατωνικὴ ἐδόξαζε φιλοσοφία(α). Ὁ νοῦς τοίνυν ἢ κόρος ἢ σοφία ἢ ὅπως τις ἄλλως αὐτὸν καλέσειε, γεννᾶται ἐκ τοῦ πατρὸς τῆς πηγῆς τοῦ ἀγαθοῦ καὶ νοερητόκου (ὕμν. β'. 166, παράβαλ. καὶ τὸν συγγραφέα τῶν αἰγυπτιακῶν μυστηρίων ὅπου τὸ ἓν νοητάρχης καλεῖται σελ. 264)· ὁ δὲ τῆς παραγωγῆς τρόπος οὐδεὶς ἕτερος ἢ ὁ τοῦ Πλωτίνου· καὶ γὰρ καὶ ὁ Συνέσιος πρόχυσιν τοῦ ἑνὸς διδάσκει καὶ ἔκχυσιν καὶ χύσιν(β), ὅπερ ἓν ὡς φῶς ἀμφιφαὲς ἀνάγκη τὸ πρῶτον τῶν ὄντων παράγειν περιλαμπόμενον, ὡς τοῦτο ἰδιότης τοῦ φωτὸς τυγχάνει. Ἀλλ' ὅπως παρὰ τῷ Πλωτίνῳ ὁ νοῦς οὐκ ἐν χρόνῳ ἀπὸ τοῦ ἑνὸς παράγεται ἀλλ' αἰωνί-

---

ὁ Πλωτῖνος ταῖς αὐταῖς τοῦ Συνεσίου ὀνομασίαις περὶ τοῦ νοῦ χρῆται, νοῦν ἀκήρατον αὐτὸν προσαγορεύων καὶ σοφίαν καὶ κόρον κτλ. X, 3.

(α) Καὶ ἐν τῷ πρώτῳ περὶ Προνοίας λόγῳ δοκεῖ μοι τὸν Συνέσιον τὴν περὶ Τριάδος διδάσκειν διδασκαλίαν καίπερ πως συνεσκιασμένην· ἐν αὐτῷ γὰρ σελ. 113 φησίν: ἐκεῖ γὰρ ἄλλο γένος θεῶν ὑπερκόσμιον, ὃ συνέχει μὲν πάντα μέχρις ἐσχάτων τὰ ὄντα, αὐτὸ δ' ἀκλινές ἐστι καὶ πρὸς ὕλην ἀμείλικτον· ἐκεῖνο τοῖς μὲν φύσει θεοῖς τὸ μακάριον, τὸ δὲ καὶ τὴν ἐκείνου πηγὴν ἰδεῖν ἔτι μακαριώτερον· ἔνθα ὑπὸ τὸ: ἄλλο γένος θεῶν ὑπερκόσμιον τὸν νοῦν ὑποληπτέον· ὁ γὰρ νοῦς κατὰ Συνέσιον οὐ μόνον δημιουργὸς καὶ τὴν φύσιν συνέχων καὶ ὑπερκόσμιος, ἀλλὰ καὶ πρὸς ὕλην ἀμείλικτος, ὅπως αὐτὸν ἐν τῷ περὶ Ἐνυπνίων καλεῖ σελ. 316.

(β) Ἐξεχύθης ἀῤῥητοτόκε] ἵνα παῖδα τέκῃς] κλεινὰν σοφίαν] δημιοεργόν]· προχυθεὶς δὲ μένεις] ἀτόμοισι τομαῖς] μαιευόμενος· ὕμν. Γ'. 200—. Τὸν ἀπ' ἀῤῥήτων] ἔχεας κόλπων· αὐτόθι 413 — ἵνα γὰρ προχυθῇ] ἐπὶ παιδὶ πατὴρ] αὐτὰ πρόχυσις] εὕρετο βλάσταν. Ὕμνος τέταρτος στίχ. 101—110.

ως(α) οὕτω καὶ παρὰ Συνεσίῳ ἡ γέννησις τοῦ υἱοῦ αἰώνιος ὑπολαμβάνεται, παραβάλλοντι αὐτὸν πρὸς ἀκτῖνα ἅμα τῷ πατρὶ λάμψασαν (β).

§ 16.

Κατὰ τὸν Πλωτῖνον μόνον τὸ ἓν καὶ πρῶτον ἀπροσδεές ἐστι καὶ τέλειον, πάντα δὲ τὰ μετ' αὐτὸ ἀτελῆ τελειούμενα δὲ παρὰ τῶν γεγεννηκότων δίκην πατέρων τελειούντων (γ)· ἔλαττον τοίνυν τὸ γεννώμενον τοῦ γεννῶντος ὄν, ἀνάγκη εἴδωλον εἶναι αὐτοῦ ὁριζόμενον ὑπὸ τοῦ γεννήσαντος καὶ οἷον εἰδοποιούμενον (Χ. 7). Οὕτω καὶ ὁ νοῦς ὡς ἀπὸ τοῦ ἑνὸς παραγόμενος καὶ μὴ τὸ ἓν ὤν, οὐ τὸ τελειότατον. Τελειότατος μὲν καὶ μέγιστος ὡς τὰ πρὸς τὰ μετ' αὐτόν, καὶ γὰρ ὁρᾷ ὁ νοῦς ἐκείνου, ὡς Πλωτῖνός φησι καὶ δεῖται αὐτοῦ μόνου, αὐτὸς δὲ κατώτερος ἐκείνου τυγχάνει· ναὶ μὲν δὴ ἀποσώζει ὁ νοῦς πολλὰ τοῦ ἑνὸς καὶ ὁμοιότατος αὐτῷ ἐστι, ὥσπερ καὶ τὸ φῶς τῷ ἡλίῳ, ἀλλ' ὑποδεέστερος τοῦ ἑνός. Ὅτι μὲν οὖν καὶ ὁ Συνέσιος ἀτέλειαν τῶν ὄντων τῶν μετὰ τὸ ἓν ἀποδέχεται, σαφῶς τοῦτο δηλοῦται ἐν τῷ Φαλάκρας ἐγκωμίῳ, ἔνθα κατιοῦσαν τὴν φύσιν ποικιλλομένην καλεῖ, ἐνῷ τὰ πρῶτα τῶν ὄντων ἁπλᾶ καὶ τέλεια (σελ. 194). Ὅτι δὲ καὶ τὴν δευτέραν τῆς Τριάδος ὑπόστασιν, τὸν νοῦν ἢ υἱόν, ἀτελεστέραν ἄρα καὶ ὑποδεεστέραν τοῦ ἑνὸς ἐδόξαζεν, τοῦτο σαφῶς μὲν αὐτῷ οὐκ εἴρηται, ῥᾴδιον δ' εἰκάσαι. Τὸ δὴ κυριώτερον, ὅπερ ἡμᾶς εἰς τὴν δοξασίαν ταύτην φέρει, ἐστὶν ὡς

(α) Ἐκποδὼν δὲ ἡμῖν ἔστω γένεσις ἡ ἐν χρόνῳ τὸν λόγον περὶ τῶν ἀεὶ ὄντων ποιουμένοις· Χ, 6 καὶ 4· ἔχει (ὁ νοῦς) οὖν ἐν ἑαυτῷ πάντα ἑστῶτα ἐν τῷ αὐτῷ καὶ ἔστι μόνον καὶ τὸ ἔστιν ἀεὶ καὶ οὐδαμοῦ τὸ μέλλον· ἔστι γὰρ καὶ τότε· οὐδὲ τὸ παρεληλυθός· οὐ γάρ τι ἐκεῖ παρελήλυθεν ἀλλ' ἐνέστηκεν ἀεί.

(β) Αὐτὸς φῶς εἶ παγαῖον] συλλάμψασ' ἀκτὶς πατρί· ὕμν. Ε'.— οὐδ' ὁ βαθύῤῥους] χρόνος οἶδε γονὰς] τὰς ἀῤῥήτους· αἰὼν δὲ γέρων] τὸν ἀμήρυτον] τόκον οὐκ ἐδάη· ὕμν. Γ'. 244—.

(γ) Δεῖ δὲ τὰ πρῶτα ἐνεργείᾳ τίθεσθαι καὶ ἀπροσδεᾶ καὶ τέλεια· τὰ δὲ ἀτελῆ ὕστερα ἀπ' ἐκείνων, τελειούμενα δὲ παρ' αὐτῶν τῶν γεγεννηκότων δίκην πατέρων τελειούντων, ἃ κατ' ἀρχὰς ἀτελῆ ἐγέννησαν. V, 4· παράβαλε καὶ Zeller σελ. 455.

ὁ Συνέσιος ἐν ταῖς πεζαῖς αὐτοῦ συγγραφαῖς τὸ ἓν μόνον, τὸν Θεὸν προσαγορεύει, ὅπως καὶ ἐν τοῖς δυσὶ πρώτοις ὕμνοις. Ἀληθῶς ἐν τοῖς ἀκολούθοις ὕμνοις ὑμνεῖται ὅ τε υἱὸς καὶ ἡ ἁγία πνοιά, ἀλλ' ἐν τῷ πρώτῳ καὶ δευτέρῳ ὁ ὕμνος τῷ ἑνὶ μόνον προσάγεται· τοῦτο δὲ οὐκ ἂν ἄλλως ἐξηγῆσαι δυναίμεθα εἰ ἀποδεχόμενοι ταπείνωσίν τινα τῶν δύο ἑτέρων προσώπων τῆς Τριάδος παρὰ τῷ Συνεσίῳ. Τῷ λόγῳ ἡμῶν συμμαρτυρεῖ καὶ ὁ γάλλος **Vacherot** ἐν τῷ περὶ Ἀλεξανδρινῆς σχολῆς συγγράμματι αὐτοῦ λέγων: **Dans sa discipline de la Trinité, Synésius fait ressortir la profonde inferiorité du Fils et c'est à pein s' il fait mention du saint Esprit. Tom. III,** σελ. 20 (α).

§ 17.

Ὥσπερ κατὰ τὸν Πλωτῖνον ἡ ψυχὴ ἐν ἑαυτῇ ἔχει τὰς ἐπιστήμας οὔπω συγκεχυμένας, ἀλλ' ἑκάστην τὸ ἑαυτῆς πράττουσαν ὅταν δέῃ, οὕτω καὶ ὁ νοῦς πάντα τὰ ὄντα ἐν ἑαυτῷ ἔχει οὐκ ἐν τόπῳ, πάντα δὲ ὁμοῦ καὶ οὐδὲν ἧττον διακεκριμένα· ὁ νοῦς δὲ πᾶς περιέχει ὥσπερ γένος τὰ εἴδη καὶ ὅλον τὰ μέρη. Ὁ νοῦς τοίνυν κατὰ τὸν Πλωτῖνον περιλαμβάνει ἐν ἑαυτῷ τὰς τῶν ὄντων ἰδέας ὥσπερ τὰ σπέρματα τὰς δυνάμεις(β), καὶ αὕτη δὴ ἡ περίληψις τῶν ἰδεῶν ἀποτελεῖ τὸ πολὺ τὸ ἐν τῷ νῷ. Ὁ νοῦς περιλαμβάνει καὶ τοὺς νοητοὺς θεοὺς(γ) καὶ λοιποὺς νόας, οἵτινες ἀπ' αὐτοῦ ἀπορρέοντες ἐπὶ τὰ διάφορα τῶν ὄντων κατέρχονται. Ἀλλὰ καὶ κατὰ τὸν Συνέσιον ὁ νοῦς, ὁ περὶ τὸ ἓν ὡς ὁ οὐρανὸς περὶ τὸν

(α) Παράβαλε καὶ **Thilo Commentarium in Hymnum II** σελ. 5. Ἐν γένει δὲ περὶ τῆς Πλωτινικῆς (κατὰ τὸν **Baur** Πλατωνικῆς) χροιᾶς τῆς τοῦ Συνεσίου περὶ Τριάδος διδασκαλίας ἴδε **Baur Kirchengeschichte Band II** σελ. 52 καὶ ἐφεξ.

(β) Γενόμενον δὲ (τὸν νοῦν) ἤδη τὰ ὄντα πάντα οὖν αὐτῷ γεννῆσαι, πᾶν μὲν τὸ τῶν ἰδεῶν κάλλος, πάντας δὲ θεοὺς νοητούς· **X, 7, V, 5.**

(γ) Εἰ οἱ νοητοὶ οὗτοι καὶ ὑπερκόσμιοι θεοὶ οἱ αὐτοὶ τοῖς νουσὶ τυγχάνουσιν ἢ ἕτεροι παράβ. **Zeller** σελ. 472 καὶ **Kirchner** σελ. 60.

νοῦν κινούμενος(α), συμπεριείληφεν ἐν ἑαυτῷ τὰ εἴδη καὶ τὰς ἰδέας, ὥσπερ οὖν κατ' αὐτὸν καὶ ἐν τῇ ψυχῇ τὰ γιγνόμενα ὡς εἴδωλα προϋφίστανται(β). Ἐκ τοῦ νοῦ περαιτέρω κατὰ τὸν ἡμέτερον φιλόσοφον πάντες οἱ νόες ἀπορρέουσιν, οὐδὲν ἕτερον ἢ θεοὶ ὄντες(γ), καὶ αὐτοὶ ἔτι οἱ ἐν ταῖς ζώων ψυχαῖς καταφοιτῶντες(δ). Τέλος κατὰ τὸν Πλωτῖνον ὁ νοῦς δημιουργός ἐστι τῶν ὄντων (XLVI, 18), ὅπερ καὶ ὁ σοφὸς Συνέσιος ἀποδέχεται δημιοεργὸν καὶ κοσμοτεχνίτην αὐτὸν ἀποκαλῶν(ε). Ἔτι καὶ ἐν ἄλλοις πολλοῖς εὕροι τις ἂν τὴν συγγένειαν τοῦ Συνεσίου πρὸς τὸν Πλωτῖνον ὡς ἐν τῇ ὀνομασίᾳ

(α) Ὕλην τε γὰρ ὑποβέβληται (ἡ ἀστρονομία) τὸ μακάριον οὐρανοῦ σῶμα, οὗ καὶ τὴν κίνησιν νοῦ μίμησιν εἶναι τοῖς κορυφαιοτάτοις ἐν φιλοσοφίᾳ δοκεῖ· πρὸς Παιόνιον § 5. Ἐνταῦθα δ' ὑπὸ τοὺς κορυφαιοτάτους τὸν Πλωτῖνον ἀληθῶς νοεῖ παραδεχόμενον ὡσαύτως κίνησιν τοῦ νοῦ περὶ τὸ ἓν καὶ ἑαυτόν· ἴδε XII καὶ ἀλλαχοῦ· παράβαλ' καὶ Πρόκλον ἐν Κρατύλλῳ § 152.

(β) Νοῦς ἔχει τὰ εἴδη τῶν ὄντων, ἀρχαία φιλοσοφία φησί· προσθείημεν δ' ἂν ἡμεῖς ὅτι καὶ τῶν γινομένων ψυχή, ἐπειδὴ λόγος ἐστὶ τῷ πρὸς ψυχήν, ὅστις τῷ ὄντι πρὸς τὸ γινόμενον· περὶ Ἐνυπνίων § 5· ἔνθα ὁ Νικηφόρος σημειοῖ: δείκνυσιν ὅτι ὃν λόγον ἔχει ὁ νοῦς πρὸς ψυχήν, τὸν αὐτὸν ἔχει τὰ ὄντα πρὸς τὰ γινόμενα· καὶ ἐναλλὰξ ὃν λόγον ἔχει ὁ νοῦς πρὸς τὰ ὄντα, τὸν αὐτὸν ψυχὴ πρὸς γινόμενα σελ. 372.

(γ) Τοὺς θεοὺς οὐδὲν ἄλλο ἢ νοῦς λέγει ἡ φιλοσοφία εἶναι· περὶ Ἐνυπνίων § 1.

(δ) Οὐ γὰρ ἐσμὲν ὁ ἀκήρατος νοῦς, ἀλλὰ νοῦς ἐν ζώου ψυχῇ. Δίων § 8· ἀλλὰ καὶ πολλαχοῦ τῶν ὕμνων θεωρεῖ τὸν ἐν ἡμῖν νοῦν ἀποκύημα καὶ ἀποῤῥῶγα τοῦ Θείου νοός· οὕτως ὡς ἐπὶ παραδείγματι ὕμν. 3, στίχ. 558— Σὸν σπέρμα φέρω] εὐηγμένος] σπινθῆρα νόου] ἐς βάθος ὕλας] κατακεκλιμένον· καὶ παρακατιών— τὰν σὰν κούραν (νοῦν δηλονότι) ἐλέαιρε μάκαρ· παράβ. καὶ ὕμνον Α'. στίχ. 85· ἔνθα καλῶν τὸν νοῦν ἄφθιτον τοκήων θεοκηράνων ἀποῤῥῶγα, ἐπιπροστίθησιν: νενεμημέναιος μορφαῖς] μεμερισμένος παρέστη]· ὁ μὲν ἀστέρων διφρείαις] ὁ δ' ἐς ἀγγέλων χορείαις] ὁ δὲ καὶ ῥέποντι δεσμῷ] χθονίαν εὕρατο μορφάν]. Καὶ ἐν τῇ 99 δὲ ἐπιστολῇ φησι: ἐμοὶ μάρτυς πάντως ὁ Θεός, οὗ σπέρμα ὁ νοῦς ἐς ἀνθρώπους ἥκει, ἐνῷ ἐν τῷ Φαλάκρας ἐγκωμίῳ θειότατον τὸν νοῦν καλεῖ τῶν ἄνωθεν ἡκόντων σπερμάτων σελ. 195.

(ε) Παράβαλε περὶ Προνοίας λόγον Β'. σελ. 198 καὶ ὕμνον Γ'. στίχ. 144— ὕμνον Β'. στίχ. 32— ἔνθα καλεῖται κραδιαῖόν τι λό-

τοῦ νοῦ ὡς ἀκηράτου, σοφίας, προστάτου, μάκαρος, κόρου, (ἴδ. Πλωτ. X, 4 καὶ Συνεσίου Δίωνα § 8, περὶ Ἐνυπνίων καὶ τοὺς 4 τῶν ὕμνων) ἥντινα πάντως ἐκ τῆς τοῦ πρώτου ἐπὶ τὸν δεύτερον ἐπιδράσεως κατανοήσαιμεν.

§ 18.

Ἀλλὰ τὴν τοῦ Πλωτίνου ἐπὶ τὸν Συνέσιον ἐπίδρασιν ἴδοι τις ἂν καταφανεστέραν ἐν τῇ περὶ ψυχῆς διδασκαλίᾳ. Ἤδη γνωστὸν ὡς ὁ Πλωτῖνος τὸ τρίτον ὄν, ὅπερ ἐν τῇ βαθμιαίᾳ τῶν ὄντων σειρᾷ ἀποδέχεται, ἡ ψυχή ἐστιν· ὅπως ἐκ τοῦ πρώτου καὶ ἑνὸς τὸ δεύτερον, οὕτω δὴ καὶ ἐκ τοῦ δευτέρου τρίτον τι προέρχεται τὴν αὐτὴν πρὸς τὸ δεύτερον, οἵαν τοῦτο πρὸς τὸ πρῶτον, ἔχον σχέσιν(α)· ὡς δηλονότι τὸ δεύτερον κατώτερον τοῦ ἑνὸς τυγχάνει, οὕτω δὴ καὶ τὸ τρίτον ὑποδεέστερον τοῦ δευτέρου, ἀλλὰ μὴν θεῖον καὶ ἀνώτερον πάντων τῶν μετ' αὐτό· καὶ γὰρ κατὰ Πλωτῖνον τὰ ὄντα τελειότερά ἐστι ἐν τῇ ἐλάσσονι ἀπὸ τοῦ ἑνὸς ἀποστάσει· ὅσῳ γὰρ ἀπ' αὐτοῦ ἀφίστανται, τοσούτῳ μᾶλλον ἀτελέστερα ἀποφαίνονται καὶ τῇ ὕλῃ προσαναμίγνυνται. Οὕτω τοίνυν καὶ ἡ ψυχὴ κατωτέρα μὲν τοῦ νοῦ ὑπάρχει, ἀνωτέρα δὲ τῶν μετ' αὐτήν· τὴν ὑπόβασιν ταύτην ἀπεικάζει ὁ Πλωτῖνος πρὸς φυσικά τινα φαινόμενα: ἀπεικαστέον φησὶ, τὸ μὲν ἓν τῷ φωτὶ, τὸ δὲ ἐφεξῆς τῷ ἡλίῳ, τὸ δὲ τρίτον τῷ τῆς σελήνης ἄστρῳ κομιζομένῳ τὸ φῶς παρ' ἡλίου· ψυχὴ μὲν γὰρ ἐπακτὸν νοῦν ἔχει ἐπιχρωννῦντα αὐτὴν νοερὰν οὖσαν, νοῦς δ' ἐν αὐτῷ οἰκεῖον ἔχει οὐ φῶς ὢν μόνον, ἀλλ ὅ ἐστι πεφωτισμένον ἐν τῇ αὐτοῦ οὐσίᾳ Πραγ. XXIII § 4. Ἀλλὰ καὶ ὁ Συνέσιος τὴν περὶ ψυχῆς διδασκαλίαν συνῳδὰ τῇ τοῦ Πλωτίνου διδάσκει· ἐν

χευμα] σοφία κοσμοτεχνῆτις]· παράβαλ. καὶ Πρόκλου σχόλια ἐν Κρατύλῳ § 105.

(α) Ψυχὴν γὰρ γεννᾷ νοῦς ὢν τέλειος· καὶ γὰρ τέλειον ὄντα γεννᾷν ἔδει καὶ μὴ δύναμιν οὖσαν τοιαύτην ἄγονον εἶναι· κρεῖττον δὲ οὐχ' οἷόν τε ἦν εἶναι οὐδ' ἐνταῦθα τὸ γεννώμενον, ἀλλ' ἔλαττον ὂν εἴδωλον εἶναι αὐτοῦ, ἀόριστον μὲν ὡσαύτως, ὁριζόμενον δὲ ὑπὸ τοῦ γεννήσαντος καὶ οἷον εἰδοποιούμενον· νοῦ δὲ γέννημα λόγος τις καὶ ὑπόστασις τὸ διανοούμενον. Πραγ. X, 7.

γάρ τῷ Φαλάκρας ἐγκωμίῳ ἔνθα δὴ τὸ κυκλικὸν τῶν σωμάτων εἶδος ὡς τὸ θεσπεσιώτερον ἀποδεῖξαι βούλεται, φησίν. Λέγεται δέ τις καὶ λόγος, ὅτι βούλεται μὲν ψυχὴ μιμεῖσθαι Θεόν· ὁ δὲ ἔστιν ὁ τρίτος θεὸς ἡ τοῦ κόσμου ψυχή, ἣν ὁ πατὴρ μὲν αὐτῆς, τοῦ δὲ σωματικοῦ κόσμου δημιουργὸς ἐπεισήγαγε τῷ κόσμῳ, τέλειον αὐτὸν καὶ ὅλον καὶ πᾶν ἐκ πάντων σπερμάτων ἀπεργασάμενος, ἀποδοὺς διὰ τοῦτο καὶ σχῆμα σχημάτων τὸ περιεκτικώτατον. (§ 7). Ἐντεῦθεν καταφανὲς γίνεται ὡς ὁ Συνέσιος τὴν ψυχὴν ὡς τὸν τρίτον ὑπελάμβανε θεόν, τὴν τρίτην ὑπόστασιν, τὴν ἀπὸ τοῦ νοῦ ἀπορρέουσαν· ὅτι δ' αὐτὴν καὶ ὑποδεεστέραν τῆς δευτέρας ἡγεῖτο ὑποστάσεως, τοῦτο μὲν οὐδαμοῦ δεδήλωται, εἰκάζομεν δὲ ἐκ τῆς περὶ τῶν ὄντων γενικῆς τοῦ Συνεσίου ἀρχῆς· (παράβ. καὶ § 16).

§ 19.

Ἡ περὶ ψυχῆς διδασκαλία τοῦ Συνεσίου εὕρηται περαιτέρω καὶ ἐν τῷ δευτέρῳ τῶν ὕμνων αὐτοῦ. Ἐνταῦθα ὁ φιλόσοφος ποιητὴς μετὰ νυκτίφοιτον ὀρφνάν, ὀρθρίησιν ὕμνοις τὸν Θεὸν λιταίνειν βουλόμενος, ὃς ἔδωκε φέγγος ἀοῖ, ὃς ἔδωκεν ἄστρα νυκτὶ, ἐπιπροστίθησιν. Ὑπὲρ ὀγδόαν δὲ δίναν) ἑλίκων ἀστροφορήτων) ῥόος ἀστέρων ἔρημος) ὑποκολπίους ἐλαύνων) πτύχας αὐτίον θεοίσας) μέγαν ἀμφὶ νοῦν χορεύει) ὃς ἄνακτος ἄκρα κόσμου) πολιοῖς ἔρεψε ταρσοῖς. Ἐνταῦθα σαφῶς μὲν ὁ λόγος περὶ τοῦ νοῦ γίνεται, τί δὲ ἐστὶν ὁ ἔρημος τῶν ἀστέρων ῥόος ὁ περὶ αὐτὸν χορεύων, ἀσαφὲς δοκεῖ. Ἀλλ' ἤδη ὁ σοφὸς **Thilo** ἐν τῷ περιεσκεμμένῳ καὶ κριτικωτάτῳ τοῦ δευτέρου ὕμνου ὑπομνήματι, τὸν ῥόον τοῦτον ὡς τὴν ψυχὴν λίαν ὀρθῶς ὑπέλαβεν. Παραβάλλων ὁ σοφὸς γερμανὸς τὸν ἔρημον ἀστέρων τοῦτον ῥόον, πρὸς τὸν, παρὰ Πλάτωνι, ἐν Τιμαίῳ σελ. 38, Β, ἔρημον οὐρανὸν καὶ τὴν ἄναστρον καὶ ἀπλανῆ σφαῖραν(α), ἥτις ἡ ἐννάτη μετὰ τὴν ὀγδοάδα τυγχάνουσα, αὐτοκίνητος καὶ ἀεικίνητος ὑπάρχει, καταλήγει εἰς τὸ συμ-

---

(α) Παράβαλε Πρόκλον εἰς τὸν Τίμαιον τοῦ Πλάτωνος σελ. 296. Ἀνωνύμου περὶ τοῦ βίου τοῦ Πυθαγόρου σελ. 60.

πέρασμα ὡς τὸν ῥόον τοῦτον ἐκληπτέον περὶ τῆς τοῦ κόσμου ψυχῆς, αὐτοκινήτου τε καὶ ἀεικινήτου κατὰ Πλάτωνα οὔσης(α). Ἀλλὰ καὶ ὁ Πλωτῖνος ἤδη ἀπεδέχετο τὴν περὶ τὸν νοῦν κίνησιν τῆς ψυχῆς τὸν νοῦν μιμουμένης (XIV) ᾧ τινι καὶ ὁ ἡμέτερος Συνέσιος ὁμοφωνεῖ ἐν τῷ πρὸς Παιόνιον λέγων: τὴν τοῦ οὐρανοῦ κίνησιν νοῦ μίμησιν εἶναι τοῖς κορυφαιοτάτοις ἐν φιλοσοφίᾳ δοκεῖ· τοῦτο δ' ἐπεξηγῶν καὶ Ἰωάννης ὁ Φιλόπονος φησίν: ἀποδίδωσι καὶ ὁ Πλωτῖνος ἐκ τῆς σχέσεως, ἣν ἔχει πρὸς τὰ πρὸ αὐτοῦ· προσεχῶς δέ εἰσιν ὑπὲρ τὰ οὐράνια αἱ νοηταὶ οὐσίαι· δεῖ δὲ τὸ αἰτιατὸν ὅτι μάλιστα ὁμοιοῦσθαι τῷ προσεχεῖ αἰτίῳ, καὶ τούτου εἰκόνας καὶ μίμησιν φέρειν· διὰ τοῦτο οὖν φησι κύκλῳ κινεῖται ὁ οὐρανὸς, ὅτι νοῦν μιμεῖται· ἴδιον γὰρ τοῦ νοῦ πρὸς ἑαυτον συννεύειν. (Ἀριστοτέλους περὶ ψυχῆς βιβλ. Α΄. κεφ. 5). Παράβαλε καὶ Πρόκλον εἰς τὴν Πλάτωνος Θεολογίαν, ἔνθα καὶ οὗτος τὴν ψυχὴν αὐτοκίνητον καὶ χορηγὸν πάσης κινήσεως ἐπονομάζει(β).

§ 20.

Ἡ ψυχὴ κατὰ τὸν Πλωτῖνον ἡ ἀμέσως τὴν ἀρχὴν αὐτῆς ἀπὸ τοῦ νοῦ ἔχουσα, κυρίως ἡ κοσμική ἐστι, μέσον τοῦ

(α) Τὴν ἰδέαν ταύτην ὑποστηρίζει ὁ σοφὸς **Thilo** ἐκ τοῦ Χαλκιδίου ἐν Τιμαίῳ σελ. 299. **Dogma ejus (Platonis) hujusmodi est, universi motus initium pene, id esse, quod ex se ipso movetur· nec est quicquam nisi animas quod ex se ipso movetur. Unde perspicium est eandem esse mundi quoque motus originem et causam,** καὶ ἐκ τοῦ Ἰωάννου τοῦ Φιλοπόνου λέγοντος περὶ Πλάτωνος, ὡς οὗτος τὸν οὐρανὸν ἔμψυχον εἶναι καὶ ὑπὸ ψυχῆς κινεῖσθαι ἐβούλετο· περὶ αἰωνιότητος κόσμου XIII, 2.

(β) Καὶ παρ' Ὠριγένει ἐν τῷ κατὰ Κέλσου VI § 25 εὕρηταί τι χωρίον μαρτυροῦν περὶ ὁμοιότητος δόξης τινὸς τῶν Ὀφιτῶν πρὸς τὰ ἄνω λεχθέντα: Ἐν ᾧ ἦν διαγραφὴ κύκλων ἀπολελυμένων ἀπ' ἀλλήλων δέκα, συνδεομένων δὲ ὑφ' ἑνὸς κύκλου, ὃς ἐλέγετο εἶναι ἡ τῶν ὅλων ψυχή. Ὡς τοίνυν ἐντεῦθεν δῆλον παρὰ πολλοῖς ἐν τῇ ἐποχῇ ταύτῃ ἡ γνώμη ἐπεκράτει, τὴν ψυχὴν τὴν τοῦ κόσμου σφαῖραν εἶναι ἀπλανῆ καὶ ἄναστρον καὶ περὶ τὸν νοῦν κινουμένην, ἥντινα καὶ ὁ Συνέσιος ἀποδέχεται. Παράβαλε καθόλου περὶ τούτου **Thilo σελ. 25—36.**

νοῦ καὶ τῶν σωματικῶν ἱσταμένη· ἡ ψυχὴ αὕτη διακεχυμένη τυγχάνει ἐν τῷ κόσμῳ παντὶ, ἀλλ' οὕτως ὥστε οὐχ αὕτη ἐν τῷ σώματι, ἀλλὰ τὸ σῶμα ἐν αὐτῇ(α). Ἐκ ταύτης οὖν τῆς καθολικῆς ψυχῆς αἱ μερικαὶ ἀπορρέουσι ψυχαί· ὅτι δὲ ἐκτὸς τῆς καθολικῆς καὶ μερικαὶ ὑπάρχουσι ψυχαὶ, τοῦτο ἑδράζεται ἐπὶ τοῦ καθολικοῦ νόμου, καθ' ὃν ὅπως ἐν τῷ νῷ αἱ ἰδέαι καὶ τὰ πνεύματα, οὕτω καὶ ἐν τῇ καθολικῇ αἱ μερικαὶ ψυχαί(β). Αὐτὰ ταῦτα ἀποδέχεται καὶ ὁ Κυρηναῖος φιλόσοφος· καὶ οὗτος διακρίνει τῆς ὅλης ψυχῆς τὰς μερικὰς, τὰς ἐξ αὐτῆς παραγομένας. Ἥ τε οὖν ὅλη ψυχή φησι ἐν τῷ Φαλάκρας ἐγκωμίῳ σελ. 199, σφαῖραν ὄντα τὸν ὅλον κόσμον ψυχεῖ, αἵ τε ἀπὸ τῆς ὅλης ρυεῖσαι καὶ μέρη γενόμεναι θέλουσιν ἑκάστη τοῦθ' ὅπερ ἡ πᾶσα ψυχὴ, διοικεῖν σώματα καὶ κόσμων εἶναι ψυχὰς, ὃ καὶ τοῦ μερισμοῦ γέγονεν αὐταῖς αἴτιον. Ἡ ὅλη τοίνυν ψυχὴ τὸν κόσμον κοσμεῖ καὶ διοικεῖ(γ) καὶ ζωογονεῖ αὐτὸν(δ), ἐξ αὐτῆς δ' αἱ μερικαὶ ἐμερίσθησαν ψυχαὶ καὶ τῷ κόσμῳ παντὶ διενεμήθησαν. Ὅτι ὁ Συνέσιος ὡς ὁ Πλωτῖνος τὸν κόσμον πάντα ἔμψυχον ἐθεώρει, τοῦτο ἡμῖν ἀνωτέρω δέδεικται· ἀλλ' ὅτι καὶ πάσας τὰς οὐρανίους σφαίρας ἐμψύχους ἐξελάμβανεν δειχθήσεται. Ὁ Πλωτῖνος ὡς γνωστὸν τρία ψυχῶν εἴδη ἐκ τῆς μιᾶς ἀπορρέειν ἠβούλετο, τὰς θείας, δαιμονίας καὶ ἀνθρωπίνους, τὰς μὲν θείας ἐπὶ τῶν ἀστέρων καὶ οὐρανίων σωμάτων ἐνιδρυμένας, τὰς δὲ δαιμονίας κατωτέρας μὲν τῶν πρώτων ἀλλ' ἀνωτέρας τῆς τῶν ἀνθρώπων φύσεως, καὶ τὰς τῶν ἀνθρώπων τὰς ἀποστραφείσας μὲν ἀπὸ τοῦ θείου, τῇ δὲ ὕλῃ προσπελασάσας καὶ

(α) Ἡ πᾶσα ψυχὴ οὐδαμοῦ ἐγένετο οὐδὲ ἦλθεν, οὐ γὰρ ἦν ὅπου, ἀλλὰ τὸ σῶμα γειτονῆσαν μετέλαβεν αὐτῆς, διὸ οὐκ ἐν τῷ σώματι, ἀλλὰ τὸ σῶμα εἰς αὐτήν· αἱ δὲ ἄλλαι ἔχουσιν ὅθεν· ἀπὸ γὰρ ψυχῆς· καὶ εἰς ὃ καὶ κατελθεῖν καὶ μετελθεῖν, ὅθεν καὶ ἀνελθεῖν XIII, 2.

(β) Οὐ γὰρ εἷς νοῦς μόνος, ἀλλ' εἷς καὶ πολλοί· πολλὰς ἔδει καὶ ψυχὰς καὶ μίαν εἶναι καὶ ἐκ τῆς μιᾶς τὰς πολλὰς διαφόρους, ὥσπερ ἐκ γένους ἑνὸς εἴδη τὰ μὲν ἀμείνω, τὰ δὲ χείρω, καὶ τὰ μὲν νοερώτερα, τὰ δ' ἧττον ἐνεργείᾳ τοιαῦτα· VI, 3.

(γ) Τοῦτ' αὐτὸ διδάσκει καὶ ὁ Πλωτῖνος λέγων: εἰς δὲ τὸ μετ' αὐτὴν κοσμεῖ τε (ψυχὴ) καὶ διοικεῖ καὶ ἄρχει αὐτοῦ. VI, 3.

(δ) Αὐτά που λέγει καὶ ἐν τῷ β'. ὕμνῳ περὶ τοῦ πνεύματος: σπαρεῖσα πνοιὰ] χθονὸς ἐζώωσε μοίρας] πολυδαιδάλοισι μορφαῖς. 56.

τῆς θείας αὐτῶν φύσεως στερηθείσας(α). Τὴν αὐτὴν βαθμολογίαν ἐν ταῖς ψυχαῖς ἀποδέχεται καὶ ὁ ἡμέτερος φιλόσοφος καί τοι οὐ τοσοῦτον σαφῶς καὶ ἐκπεφασμένως· καὶ γὰρ κατ' αὐτόν: σοφὴ ψυχὴ πρὸς ἀξίαν ἑκάστη τὴν ἑαυτῆς ἡ μὲν ἄστρον, ἡ δε φαλάκραν ἐνείματο. Φαλ. ἐγκώμ. § 8· ἀλλαχοῦ δ' αὖθις διδάσκει ὡς ἡ ψυχὴ ὅσῳ ἀνώτερον τοῦ ἐπιγείου κόσμου τυγχάνει, ταμεῖόν ἐστιν ἀληθείας καὶ διαφανὴς καὶ ἀκήρατος καὶ Θεός, καταπίπτουσα δὲ ἀχλυοῦται(β). Ἐκ τούτου σαφῶς δείκνυται ὡς ὁ Συνέσιος διαφορὰν ἀξίας ἐν ταῖς ψυχαῖς παρεδέχετο, τὰς μὲν τῷ νῷ ἐγγυτέρας, θειοτέρας καὶ καθαροτέρας, τὰς δ' ἀπ' αὐτοῦ ἀφισταμένας κατὰ τὸ μᾶλλον ἀοριστοτέρας καὶ ὑποδεεστέρας. Ἀλλὰ καίπερ τούτου οὕτως ἔχοντος, αἱ ψυχαὶ αἱ ἐν τῇ ὕλῃ ἐγκύρσασαι φέρουσί τοι μεθ' ἑαυτῶν θεῖον κατερχόμεναι καὶ δὴ διαπορθμεύουσιν ἡμῖν τὰ παρὰ τοῦ θείου(γ). Ὡς παρὰ τοῦ τρίτου δὲ Θεοῦ, τῆς ψυχῆς τῆς ὅλης ἀπορρεούσας ἀθανάτους τε προσήκει εἶναι καὶ τῶν σωμάτων προγενεστέρας· τοῦ τελευταίου δὴ τούτου ὁ Συνέσιος τοσοῦτο στερρῶς εἴχετο ὥστε καὶ ἐπὶ τὸν ἐπισκοπικὸν καλούμενος θρόνον οὐδαμῶς ἠξίου τὴν ψυχὴν ὑστερογενῆ τοῦ σώματος νομίζειν (ἐπις.105).

(α). Παράβαλε Kirchner σελ. 77—80. Τὴν διάκρισιν ταύτην ἐν ταῖς ψυχαῖς ποιεῖται καὶ ὁ Πρόκλος ἐν Θεολογ. Στοιχ. σελ. 492, λέγων· φανερὸν ὅτι τρία γένη τῶν ψυχῶν εἰσιν· καὶ πρῶται μὲν αἱ θεῖαι, δεύτεραι δὲ τῶν μὴ θείων, αἱ ἀεὶ νοῦ μετέχουσαι· τρίται δὲ αἱ ποτὲ μὲν εἰς νοῦν ποτὲ δὲ εἰς ἄνοιαν μεταβάλλουσαι.

(β) Ῥεψάσης μὲν κάτω ψυχῆς ἔλεγεν: ὁ λόγος ὅτι ἐβαρύνθη τε καὶ ἔδυ, μέχρις ἐγκύρσῃ τῷ μελαναυγεῖ καὶ ἀμφικνεφεῖ χώρῳ. Περὶ Ἐνυπνίων § 11. Παράβαλ. καὶ Πλάτωνος Φαῖδρον σελ. 247. Σαφέστερον ἔτι παρακατιὼν ἐν § 12. Ἀναδραμοῦσα μὲν (ἡ ψυχὴ) ἐπὶ τὴν οἰκείαν εὐγένειαν ἀληθείας ἐστὶ ταμεῖον· καθαρὰ γάρ ἐστι καὶ διαφανὴς καὶ ἀκήρατος, Θεὸς οὖσα καὶ προφῆτις εἰ βούλοιτο· καταπεσοῦσα δὲ ἀχλυοῦται καὶ ἀοριστεῖ καὶ ψεύδεται· τὸ γὰρ ὁμιχλῶδες τοῦ πνεύματος οὐ χωρεῖ τὴν τῶν ὄντων ἐνέργειαν· μεταξὺ δὲ οὖσα τῶν μὲν ἂν ἁμάρτοι, τῶν δὲ τυγχάνοι.

(γ) Ἅτε γὰρ ἔχει (ἡ ψυχὴ) τὰ εἴδη καὶ ὅσα παρὰ νοῦ δέχεται, μόνη γενομένη παρέχει τοῖς ἐστραμμένοις ἐπὶ τὰ εἴσω καὶ τὰ παρὰ τοῦ Θείου πορθμεύει. Ἐνυπν. § 19.

§ 21.

Τοιαύτη δοκεῖ μοι εἶναι ἡ περὶ Θεοῦ καὶ Τριάδος διδασκαλία τοῦ νεοπλατωνικοῦ Συνεσίου παρεμφερὴς πάνυ τῇ τοῦ Πλωτίνου. Εἷς μέν ἐστιν ὁ τῶν πάντων Θεὸς ἓ ν προσαγορευόμενος καὶ μ ο ν ὰ ς καὶ ῥ ί ζ α καὶ π η γ ὴ καὶ τἄλλα ὧν ἄνω ἐμνήσθημεν, παράγων δ' ἀπ' αὐτοῦ τὰς δύο ἑτέρας θείας ὑποστάσεις, τ ό ν τ ε ν ο ῦ ν κ α ὶ τ ὴ ν ψ υ χ ὴ ν εἴτε τ ὸ ν π α ῖ δ α ἢ υ ἱ ὸ ν κ α ὶ τ ὴ ν ἁ γ ί α ν π ν ο ι ά ν(α). Ἡ μονὰς αὕτη ἑνώσασα τὰς τῶν ἀκροτήτων ἁπλότητας(β)

(α) Ἀπαράδεκτος δοκεῖ μοι ἡ ὑπὸ τοῦ **K r a u s** (ἔνθ. ἀνωτέρω **Heft IV Jahr 1865**) περὶ Συνεσίου ἐξενεχθεῖσα γνώμη ὅτι δῆθεν οὗτος ἐν τῇ περὶ Τριάδος διδασκαλίᾳ ἀποκλίνει τοῦ Πλωτίνου ὡς ἀποδεχόμενος ὅτι ἐκ τῆς πρώτης καὶ ἀρχικῆς μονάδος ἑτέρα μονὰς παράγεται τρισυπόστατος οἷον εἰπεῖν, εὑρίσκει δὲ τοῦτο παρεμφερὲς τῇ διδασκαλίᾳ τοῦ Ἰαμβλίχου (παράβ. Δαμάσκιον περὶ ἀρχῶν κεφ. 100) καὶ ἰδίᾳ τοῦ Πρόκλου ἐν ταῖς ἑνάσιν αὐτοῦ. Ὁ **Kraus** στηρίζει τοῦτο ἐπὶ τοῦ πρώτου ὕμνου 52—. Ἀλλὰ κατ' ἐμέ γε κριτὴν οὐδαμῶς εὕροι τις ἂν ἐνταῦθα δ ε υ τ έ ρ α ν μονάδα τρικόρυβον ἔχουσαν ἀλκάν· ὁ Συνέσιος λέγει μόνον ὡς ἡ αὐτόσσυτος ἀρχά, ὁ ταμίας πάντων τῶν ὄντων, ἡ πρώτη μονὰς καὶ ἑνὰς, ἄῤῥητα χυθεῖσα, τρικόρυμβον ἔσχεν ἀλκάν· οὐχὶ τοίνυν δευτέρα τις μονὰς, ἀλλ' ἡ πρώτη προέθορε καὶ ἐχύθη σχοῦσα ἀλκὴν τρικόρυμβον· τοῦτο μαρτυρεῖται καὶ ὑπὸ τοῦ ἀμέσως ἑπομένου στίχου, ἔνθα ὁ ποιητὴς τὴν εἰς τρικόρυμβον ἀλκὴν ἀναπτυχθεῖσαν μονάδα καλεῖ π α γ ὰ ν ὑ π ε ρ ο ύ σ ι ο ν κάλλεϊ στεφομένην παίδων ἀπὸ κέντρου τε θορόντων περὶ κέντρον τε ῥυέντων, ὅπερ δὴ ὁ Συνέσιος οὐκ ἂν ἐπὶ τῆς δευτέρας ἐποίει μονάδος· ὡς γὰρ ἐν τοῖς πρότερον ἐδείχθη πηγὴ καὶ ἀρχὴ πάντων ἡ πρώτη ἐστὶ μονάς. Παρεμφερὴς φράσις εὕρηται καὶ ἐν τῷ δευτέρῳ ὕμνῳ, ὅπου λέγεται : μία παγὰ, μία ῥίζα] τριφαὴς ἔλαμψε μορφά, ὅπου καὶ αὖθις πηγὴ καὶ ῥίζα οὐδὲν ἕτερον ἢ τὸ θ ε ῖ ο ν καὶ ἓ ν καλεῖται· κάλλιον τοίνυν τὰς φράσεις ταύτας παρεμφερεῖς ὑπολαβεῖν τῇ ἐν τῷ τρίτῳ ὕμνῳ : Μονὰς εἶ τριὰς ὢν] τριὰς εἶ μονὰς ὢν] ἐν αἷς οὐδὲν ἕτερον ἢ τὴν τριαδικὴν τῆς Θεότητος ὑπόστασιν παραστῆσαι ὁ Συνέσιος βούλεται.

(β) Τῇ λέξει ἀ κ ρ ό τ η ς καὶ ὁ Πρόκλος χρῆται ἐν τῇ Πλατωνικῇ Θεολογίᾳ περὶ τοῦ υἱοῦ· οὐδὲν δὲ παράδοξον ὅτι καὶ ὁ Συνέσιος ἐνταῦθα τὰς δύο θείας ὑπενόησεν ὑποστάσεις· παράβ. Πρόκλου Πλατ. Θεολογ. κεφ. 3.

ἔτεκε λοχείαις ὑπερονοίαις στεφομένη ὑπὸ τοῦ κάλλους τῶν παίδων τῶν ἀπὸ τοῦ κέντρου θορόντων καὶ περὶ αὐτὸ ῥυέντων· ὕμν. Α΄. 60—. Μετὰ τὴν πρώτην θείαν ὑπόστασιν, τὸ ἓν, δευτέρα ὁ νοῦς ὑπάρχει, οὕτω προσαγορευόμενος ὑπὸ τοῦ Συνεσίου ἐν τῷ ά. ὕμνῳ· ὁ νοῦς, ᾧ τινι τῶν νοερῶν μέλλεται κόσμων, ἀπορρώξ ἐστι τῶν θεοκοιράνων τοκήων, ἔνθεν καὶ τἀγαθὰ πάντα καὶ βροτέου πνεύματος ἀρχά· οὗτος μεμερισμένος παρέστη τὸ μὲν ἐπὶ τῶν ἀστέρων, τὸ δὲ ἐν τοῖς ἀγγέλοις, τὸ δὲ ἐν τοῖς ἀνθρώποις· ὕμν. ά. 76—. Ἀλλ' ὁ νοῦς οὗτος ὁ μέγας ἐκεῖ ὑπάρχει, ὅπου καὶ ὁ Πατρῷος βυθὸς, κύδιμος υἱὸς, κραδιαῖόν τι λόχευμα καὶ κοσμοτεχνῆτις σοφία καλούμενος, ὑμν. β΄. 19—28. Ἐνταῦθα μέντοι παρὰ τῷ πατρῴῳ βυθῷ ἔλαμψε καὶ τὸ ἐνωτήσιον φέγγος τῆς ἁγίας πνοιᾶς, αὐτὸ τοῦτο, ὅπερ ἀνωτέρω ῥ ό ο ν ἀ σ τ έ ρ ω ν ἔ ρ η μ ο ν προσεῖπε, ὅσπερ μέγαν ἀμφὶ νοῦν χορεύει. Ὡς τοίνυν πᾶς τις ὁρᾷ ἐν τοῖς δυσὶ πρώτοις ὕμνοις ὁ Συνέσιος τῆς νεοπλατωνικῆς ἔχεται Τριάδος, καίπερ μικρὸν τὸν λόγον ποιούμενος περὶ τοῦ υἱοῦ, πολὺ δ' ἧττονα περὶ τῆς ἁγίας πνοιᾶς (ψυχῆς)· τοῦτ' αὐτὸ ἀποδέχονται καὶ πάντες οἱ περὶ Συνεσίου γράψαντες καὶ τοὺς ὕμνους αὐτοῦ μελετήσαντες(α).

§ 22.

Τὴν νεοπλατωνικὴν χροιὰν φέρουσι καὶ οἱ κατόπιν δύο ὕμνοι, ὁ τρίτος καὶ ὁ τέταρτος καίτοι ἐν αὐτοῖς ὑποφώσκει πως ἤδη τὸ χριστιανικὸν φῶς. Καὶ ἐν τοῖς ὕμνοις τούτοις τὸ Θ ε ῖ ο ν, τ ὸ ἓ ν ὑπάρχει, ἑ ν ὸ ς π ρ ό τ ε ρ ο ν, σ π έ ρ μ α π ά ν τ ω ν, ῥ ί ζ α κ ό σ μ ο υ, π α γ ὰ σ ο φ ί α ς, ν ο ῦ ς ν ο ε ρ η τ ό κ ο ς καὶ π ν ε υ μ α τ ο ε ρ γ ὸ ς καὶ ψ υ χ ο τ ρ ό φ ος προσυμνούμενος (ὕμν. Γ΄. 149—) (β). Τοῦτο τὸ ἓ ν ἵνα τὸν

(α) Παράβαλε **K r a u s** ἔνθα ἀνωτέρω σελ. 582. **V o l e k m a n** σελ. 198, ἔνθα περὶ τοῦ πρώτου ὕμνου φησίν: **In diesem ersten Hymnus f i n d e n w i r n o c h n i c h t s C h r i s t l i c h e s; alle seine Gedanken erklären sich aus den dem Dichter geläufigen anschauungen des neuplatonischen Theismus**· ἴδ. καὶ **D r u o n** ἔνθ. ἀνωτ. σελ. 108 καὶ 185.

(β) Καὶ ἐν τῷ δ΄. ὕμνῳ προσυμνεῖ ὁ Συνέσιος τὸ θεῖον ταῖς αὐταῖς, οἵαις καὶ ἐν τοῖς πρώτοις λέξεσιν· οὕτω ἐν τῷ 60 στίχ. φη-

παῖδα τέκῃ ἐκχύνεται, προχυθὲν δὲ μένει ἀτόμοις τομαῖς μαιευόμενον (ὕμν. Γ΄. 200 καὶ 400) αὐτὸ καταθὲν ἐν τῷ κόσμῳ καὶ τὴν ψυχήν. Ἀλλὰ μὴν καὶ μεθ' ὅλον τὸν νεοπλατωνικὸν αὐτῶν χαρακτῆρα, ἀνακαλύπτει τις μέντοι ῥᾳδίως διαφοράν τινα πρὸς τὴν προτέραν τοῦ φιλοσόφου ἱερέως διδασκαλίαν. Ἐνῷ γὰρ ἐν τοῖς πεζοῖς αὐτοῦ συγγράμμασι καὶ τοὺς δύο πρώτους τῶν ὕμνων ἀνυμνεῖ μόνον τὸ ἓν, ὅπερ δηλοῖ τὴν περὶ ὑποτάξεως τῶν ἄλλων ὑποστάσεων διδασκαλίαν τοῦ Συνεσίου, ἐν τῷ τρίτῳ καὶ τετάρτῳ ὕμνῳ, ὁ ὕμνος ἅπασι τοῖς προσώποις προσάγεται ὡς ἰσοδυνάμοις καὶ ἰσοθέοις(α). Ἀλλ' ἐκτὸς τούτου ἑτέρα τις διαφορὰ ἀνευρίσκεται ἐν τῇ τριαδικῇ τοῦ Συνεσίου διδασκαλίᾳ, καθιστῶσα αὐτὴν λίαν πρωτοφανῆ καὶ περίεργον. Ὡς γνωστὸν ἥ τε νεοπλατωνικὴ καὶ ἡ χριστιανικὴ διδασκαλία, τὴν τρίτην ὑπόστασιν τὴν ψυχὴν ἢ τὸ ἅγιον πνεῦμα κατόπιν ὑπολαμβάνουσι τῆς δευτέρας· αὐτὸ ἀπεδέχετο ὡς ἄνω ἐδείχθη καὶ ὁ ἐκ Κυρήνης σοφὸς περὶ τοῦ τρίτου θεοῦ, τῆς ψυχῆς· ἀλλ' ἐν τῷ τετάρτῳ ὕμνῳ ἡ ἁγία πνοιὰ μέση ἀρχὴ προσαγορεύεται, κέντρον τοῦ γενέτου καὶ τοῦ κόρου. (β)

§ 23.

Ἀλλ' ἡ διδασκαλία τοῦ Συνεσίου ἐν τοῖς ἑπομένοις ἓξ ὕμνοις καθαρῶς χριστιανική ἐστι, ἀποβάλλουσα τὸν μυστικισμὸν ἐκεῖνον καὶ τὰς νεοπλατωνικὰς φράσεις. Ἐν αὐτοῖς ὑμνεῖται οὐχ' ὁ πατὴρ, ἡ πάντων ἀρχὴ, ἀλλ' ὁ κύδιμος υἱὸς, διὸ οὐκ ἄν τις ἀτόπως τοὺς ὕμνους τούτους χριστολογικοὺς

σίν: μονὰς ὦ μονάδων, ἀρχῶν ἀρχὰ, πάτερ ὦ πατέρων, παγῶν παγὰ, ῥιζῶν ῥίζα, ἀγαθῶν ἀγαθὸν, κτλ.

(α) Τῆς διδασκαλίας ταύτης ἀνάλογον εὑρίσκει ὁ διάσημος **Baur** ἐν τῇ περὶ Τριάδος διδασκαλίᾳ τοῦ Πορφυρίου. (παρ. ἔνθ.ἀν. σελ.55.)

(β) Ὑμνῶ σε μονὰς] ὑμνῶ σε τριὰς] μονὰς εἶ τριὰς ὢν] τριὰς εἶ μονὰς ὢν] ὕμνος Γ΄. 200 — καὶ Δ΄. 80· ὑμνῶ σε μάκαρ] καὶ διὰ φωνᾶς] ὑμνῶ σε μάκαρ καὶ διὰ σιγᾶς] . . . ὑμνῶ δὲ γόνον] πρωτόγονον] καὶ πρωτοφαῆ]. Γόνε κύδιστε] πατρὸς ἀφθέγκτου]. Σὲ μάκαρ μεγάλῳ] πατρὶ συνυμνῶ] καὶ τὰν ἐπὶ σοὶ] ὠδῖνα πατρὸς] γόνιμον βουλὰν] μεσάταν ἀρχὰν] ἁγίαν πνοιὰν] κέντρον γενέτου] κέντρον δὲ κόρου.

ὀνομάσαι. Ἐνταῦθα τὸ δεύτερον τῆς θεότητος πρόσωπον κοῦρος νύμφας καλεῖται καὶ Ἰησοῦς Σολυμήϊος, γόνος κύδιμος τῆς Παρθένου, Χριστὸς καὶ ἕτερα προδιδόντα τὴν τοῦ χριστιανισμοῦ ἐκνίκησιν (α)· οὐ μόνον δ' ἡ θεότης αὐτοῦ ἀλλὰ καὶ ἡ ἀνθρωπότης ὑποδείκνυται· αὐτὸς τὸ πηγαῖον φῶς, ἡ τῷ πατρὶ συλλάμψασ' ἀκτὶς, πορθμευτὴς ὑπάρχει τοῖς θνητοῖς τοῦ πηγαίου φωτός· ὕμνος Ε'. 8—· αὐτὸς ῥήγνυσι τὴν ὀρφναίαν ὕλαν, αὐτός ἐστιν ὁ σωτὴρ τῶν ἀνθρώπων (αὐτόθι)· αὐτός ἐστιν ὁ τοῖς ἐπουρανίοις Θεὸς ὢν, ἐχύθη ἐπὶ χθονὶ ἀπὸ βροτείου νηδύος καὶ νέκυς τοῖς ὑποχθονίοις τυγχάνει· ὕμν. Ζ'. 16—. Τὴν ἐν ἀνθρώποις γέννησιν αὐτοῦ θαμβήσαντες καὶ οἱ μάγοι ἦλθον ἰδεῖν τὸν Θεὸν ἢ νέκυν ἢ Βασιλέα, χρυσὸν αὐτῷ καὶ λίβανον καὶ σμύρναν κομίζοντες(β). Ἐν τῷ ἐννάτῳ ὕμνῳ ὑμνεῖται ὁ κύδιμος υἱὸς τῆς σολυμηΐδος Παρθένου ὡς ἐξελάσας τὸν χθόνιον ὄφιν ἐκ τῶν τοῦ πατρὸς ὀρχάτων· αὐτὸς κατέβη καὶ ὑπὸ τὰ τάρταρα, ἔνθα ὁ παλαιγενὴς ᾅδης, ὁ γέρων ἰδὼν, ἔφριξεν, ἀπέκλινε δὲ τοῦ βηλοῦ αὐτοῦ ὁ λαοβόρος κύων· ἀνιστάμενον δὲ ἔτρεσε μὲν τὰ ἔθνη τῶν δαιμόνων, ἐθάμβησε δ' ὁ χορὸς τῶν ἀστέρων· ὁ μὲν αἰθὴρ ἐγέλασεν, ἐμείδησε δ' ὁ ἑωσφόρος, ὁ χρυσὸς ἕσπερος καὶ ὁ κυθερήϊος ἀστήρ. (γ) Περὶ τοῦ ἁγίου

(α) Ὑμνῶμεν κοῦρον νύμφας] νύμφας οὐ νυμφευθείσας] ἀνδρῶν μοιραίαις κοίταις]· ἑσπέραν Χριστοῦ γένναν] ἡ σεμνὰ νύμφας ὠδὶς] ἀνθρώπου φῆνεν μορφάν· ὕμν. Ε'. 1—. Πρῶτος νόμον εὑρόμαν] ἐπὶ σοὶ μάκαρ ἄμβροτε] γόνε κύδιμε παρθένου] Ἰησοῦ Σολυμήϊε] νεοπηγέσιν ἁρμογαῖς] κρέξαι κιθάραις μίτους· ὕμν. Ζ'. 1—. Παράβαλ. καὶ ὕμν. Η'. 5. Θ'. 1, 2, 3. Ι'. 1, κτλ.

(β) Μάγος ἁ πολύφρων τέχνα] ἐξ ἀστέρος ἀντολᾶς] θάμβησεν ἀμήχανος] τί τὸ τικτόμενον βρέφος] τίς ὁ κρυπτόμενος Θεὸς] Θεὸς ἢ νέκυς ἢ βασιλεύς]· ἄγε δῶρα κομίζετε] σμύρνης ἐναγίσματα] χρυσοῦ τ' ἀναθήματα] λιβάνου τε θύη καλά]. Θεὸς εἶ, λίβανον δέχου] χρυσὸν βασιλεῖ φέρω] σμύρνη τάφος ἁρμόσει· ὕμν. Ζ'. 20—32.

(γ) Ὃς τὰν δολίαν πάγαν] χθόνιον μεγάλων ὄφιν] πατρὸς ἤλασας ὀρχάτων· κατέβας δ' ὑπὸ τάρταρα]. . . . Φρίξεν σὲ γέρων τότε] ἀΐδας ὁ παλαιγενὴς] καὶ λαοβόρος κύων] ἀνεχάσσατο βηλοῦ]. . . . Ἀνιόντα σε κοίρανε] τὰ κατ' ἠέρος ἄσπετα] τρέσιν ἔθνεα δαιμόνων]· θάμβησε δ' ἀκηράτων] χορὸς ἄμβροτος ἀστέρων]. Αἰθὴρ δὲ γελάσας] σοφὸς ἁρμονίας πατὴρ] ἐξ ἑπτατόνου λύρας] ἐκεράσσατο μουσικὰν]

πνεύματος βραχὺς καὶ αὖθις γίνεται ὁ λόγος· καίτοι δὲ συνυμνεῖται τοῦτο τῷ πατρὶ καὶ τῷ υἱῷ (ὕμν. Ι'. 20) καὶ σύνθωκος τῷ πατρὶ πνοιὰ ὀνομάζεται, ὅμως καὶ ἐνταῦθα διαρρήδην τῆς χριστιανικῆς ἀποκλίνει διδασκαλίας, μέσον αὐτὸ τιθεὶς πατρὸς καὶ υἱοῦ καὶ κέντρον πατρὸς καὶ κόρου προσαγορεύων. ὕμν. Ε'. 60—.

§ 24.

Ὡς τοίνυν ἐκ τῶν ῥηθέντων μοι ἤδη ἐδείχθη ἐν μὲν τοῖς πεζοῖς συγγράμμασι καὶ τοῖς τέτταρσι πρώτοις τοῦ Συνεσίου ὕμνοις, ἡ διδασκαλία αὐτοῦ νεοπλατωνική ἐστι, ἐν δὲ τοῖς λοιποῖς ἓξ ἡ χριστιανικὴ δοκεῖ ἐκνικήσασα, καίτοι ὁ ποιητὴς ἀναμιμνήσκεται ἔτι τῶν ἐθνικῶν αὐτοῦ παραστάσεων.(α) Τὴν διαφορὰν ταύτην τῆς διδασκαλίας τοῦ Συνεσίου πράγματι ἐν τοῖς γεγραμμένοις αὐτῷ ὑπάρχουσαν, ἠναγκάσθημεν ἀνωτέρω ἐκθεῖναι ὅπως πᾶσαν παρανοήσεως λαβὴν ἀποφύγωμεν. Ἀλλ' οὐχ οὕτως καὶ πάντες περὶ τούτου κρίνουσιν· ὡς γὰρ ἀνωτέρω (§ 5 σημ. β) ὑπηνίχθημεν ὁ γάλλος **Toussaint** ἐν τῇ περὶ Συνεσίου πραγματείᾳ αὐτοῦ, ἐν γωνίᾳ που καὶ παραβύστῳ τὰ πεζὰ αὐτοῦ συγγράμματα τιθέμενος, τοὺς ὕμνους μόνον διερευνᾷ, ἀλλὰ κἀνταῦθα ἀπορρίπτων πᾶν τὸ σαφῶς νεοπλατωνικὸν, καὶ ἀποδεῖξαι βούλεται ὡς ὁ Συνέσιος τὴν χριστιανικὴν περὶ Θεοῦ καὶ Τριάδος διδασκαλίαν διδάσκει. Οὐδαμῶς διαφιλονεικοῦμεν τὸν Συνέσιον μετὰ τὴν ἐν τῷ χριστιανισμῷ προσέλευσιν αὐτοῦ ἀποδεχθῆναι τὰς χριστιανικὰς ἀληθείας (β), ἀλλ' ὅτι καὶ ἐν τοῖς τέσσαρσι πρώ-

---

ἐπινίκιον εἶ μέλος]. Μείδησεν ἑωσφόρος] ὁ διάκτορος ἀμέρας] καὶ χρύσεος ἕσπερος] κυθερήϊος ἀστήρ· ὕμν. Θ'. 8—34. Παράβαλ. καὶ **Baur** σελ. 55— ἔνθα παρατηρεῖ ὅτι ἐν τῷ υἱῷ, καὶ μεθ' ὅλην τὴν χριστιανικὴν χροιὰν, ὑποχωρεῖ ἡ χριστιανικὴ σημασία ἀπέναντι τῆς καθόλου φυσικῆς καὶ φιλοσοφικῆς.

(α) Οὕτως ἐπὶ παραδείγματι τὸν Ἀΐδην καλεῖ κῦνα λαοβόρον καὶ γέροντα παλαιγενῆ, τὸν δὲ Χριστὸν πρὸς τὸν ἥλιον παραβάλλει· ὕμν. Ε'. καὶ Θ'. ἴδε καὶ **Baur** ἔνθα ἀνωτέρω.

(β) Ἀλλ' ἐνταῦθα ἄξιον παρατηρήσεως ὡς καὶ ἀκολούθως ἔτι στερεῶς εἴχετο πολλῶν νεοπλατωνικῶν διδασκαλιῶν· μαρτύριον τούτου καταφανὲς ἡ 105η αὐτοῦ πρὸς τὸν ἀδελφὸν Εὐόπτιον ἐπιστολή,

τοις τῶν ὕμνων χριστιανικῶς διδάσκει, ὡς ὁ Toussaint βούλεται, ἀδυνατοῦμεν ἀποδεχθῆναι· μάλιστα δ' οὗτος τοσοῦτον ὑπὸ τῆς δόξης ταύτης παρηνέχθη, ὥστε δὴ καὶ τὴν φανερὰν τοῦ Συνεσίου ἀπὸ τοῦ χριστιανισμοῦ ἀπόκλισιν, ἔνθα λέγει ὡς τὸ πνεῦμα μέσον ἐστὶ καὶ κέντρον πατρὸς καὶ κόρου, χριστιανικὴν καὶ δὴ τῇ λατινικῇ ὁμολογίᾳ συνᾴδουσαν(!) ἀποδεῖξαι ἰσχυρίζεται περὶ τῆς ἐκ τοῦ πατρὸς καὶ υἱοῦ ἐκπορεύσεως τοῦ πνεύματος(α) ὑπολαμβάνων. Ἀπορρίπτοντες τὴν ὡς εἰπεῖν ὑπεράλπειον ταύτην γνώμην, καταστρέφομεν ἐνταῦθα τὸν λόγον τοῦτο μόνον ἐπιπροστιθέννες ὡς ὁ Συνέσιος ὁ τὸν χριστιανισμὸν οὐχὶ ἀπόβασιν, ἀλλ' ἐπανάβασιν φιλοσοφίας ἡγούμενος (ἴδε ἐπιστολ. 95) ἀπεδέξατο μὲν τέλος τὴν Χριστιανικὴν περὶ Θεοῦ καὶ Τριάδος διδασκαλίαν, ἀλλ' ἐν τοῖς πεζῶς αὐτῷ γεγραμμένοις καὶ τοῖς τέτ-

---

ἔνθα ἀπαναινόμενος τὸ ἐπισκοπικὸν ἀξίωμα διαῤῥήδην φησί: Χαλεπόν ἐστι εἰ καὶ μὴ λίαν ἀδύνατον, εἰς ψυχὴν τὰ δι' ἐπιστήμης εἰς ἀπόδειξιν ἐλθόντα δόγματα σαλευθῆναι· οἶσθα δ' ὅτι πολλὰ φιλοσοφία τοῖς θρυλλουμένοις τούτοις ἀντιδιατάττεται δόγμασιν· ἀμέλει τὴν ψυχὴν οὐκ ἀξιώσω ποτὲ σώματος ὑστερογενῆ νομίζειν· τὸν κόσμον οὐ φήσω καὶ τἄλλα μέρη συνδιαφθείρεσθαι· τὴν καθωμιλημένην ἀνάστασιν ἱερόν τι καὶ ἀπόῤῥητον ἥγημαι.... Εἰ ταῦτα καὶ οἱ τῆς καθ' ἡμᾶς ἱερωσύνης συγχωροῦσιν ἐμοὶ νόμοι, δυναίμην ἂν ἱερᾶσθαι, τὰ μὲν οἴκοι φιλοσοφῶν, τὰ δ' ἔξω φιλομυθῶν.

(α). Ἰδοὺ τί λέγει: **Les termes de milieu et de centre, employés par Synésius pour exprimer la relation qui existe entre le St. Esprit et les deux autres personnes divines, ces termes, disons-nous, sans avoir l' exactitude dérisable, nous paraissent susceptibles d' un sens conforme à la verité. Selon nous ils indiquent que le St. Esprit, dans la pensée de Synesius, est, non pas un simble médiateur, mais une personne divine, produite par la réciprocité de l' amour ineffable du Pére et du Fils. Il est imposimble d' en douter, toute cette doctrine de Synesius a été puisée aux sources pures du christianisme et nullement à l' école philosophique d' Alexandrie (!)**· ἴδ **Touîssaint**, ἔνθ. ἀνωτ. σελ. 28 καὶ ἐφ.

ταρσι τῶν ὕμνων ἕλως ὑπέρμαχος τοῦ Πλωτίνου θιασώτης καὶ τῆς κατ' αὐτὸν φιλοσοφίας διετέλει, ὅπερ ἐν τοῖς ἔμπροσθεν ἀποδεῖξαι ἐπειράθημεν.